Α.Π.Θ.
ΝΤΡΙΚΗ
ΒΛΙΟΘΗΚΗ
ΟΟ
Ε2
43
1
Θ

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠ. ΘΕΣ)ΝΙΚΗΣ
ΑΠΟΘΗΚΗ
30543

Α.Π.Θ.

Α.Π.Θ.

Α.Π.Θ.

Εξα οπ

Η

ΠΡΟΣ ΤΟΥΣ ΕΞ

ΕΒΡΑΙΩΝ ΠΙΣΤΟΥΣ

ΕΠΙΣΤΟΛΗ

ΤΟΥ ΑΠΟΣΤΟΛΙΚΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΡΝΑΒΑ,

Η ΠΕΡ ΑΝΑΚΑΛΥΦΘΕΙΣΑ ΕΝ ΑΘΩΝΙ

ΤΩΙ ,ΑΩΛΖ' ΟΛΟΚΛΗΡΟΣ

ΑΠΘ

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΙΜΩΝΙΔΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ,

ΕΚΔΙΔΕΤΑΙ ΤΑΝΥΝ, ΕΠΙ ΤΗΙ ΒΑΣΕΙ ΕΠΤΑ ΑΡΧΑΙΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ, ΔΑΠΑΝΗΙ ΚΑΙ ΕΠΙΜΕ ΛΙΑΙ

ΓΕΩΡΓΙΟΥ Δ· ΡΟΔΟΚΑΝΑΚΗ.

Ν. Γ. Πολίτ
Βιβλ. Εισ. 26012

ΕΝ ΣΜΥΡΝΗΙ.

,ΑΩΜΓ'.

0010081342

" Ἐρευνᾶται τὰς ΓΡΑΦΑΣ, ὅτι ὑμεῖς δοκεῖτε ἐν
" αὐταῖς ζωὴν αἰώνιον ἔχειν· ϗ ἐκεῖναί εἰσιν αἱ
" μαρτυροῦσαι περὶ ἐμοῦ. ΙΩ. ε. § 39.

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣ/ΝΙΚΗΣ 1930
Α.Π.Θ.

BS
2900
.B2
G8
1843

ΤΗι

ΜΙΑι ΑΓΙΑι

ΚΑΘΟΛΙΚΗι

ΚΑΙ

ΑΠΟΣΤΟΛΙΚΗι

ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΛΛΗΝΩΝ

ΕΚΚΛΗΣΙΑι

ΤΗΝ ΤΟΥ ΙΕΡΟΥ

ΒΑΡΝΑΒΑ

ΚΑΘΟΛΙΚΗΝ ΕΠΙΣΤΟΛΗΝ

ΕΥΛΑΒΩΣ

ΑΝΕΘΗΚΕ

ΤΟ ΚΑΘΟΛΟΥ ΠΙΣΤΟΝ

ΑΥΤΗΣ ΤΕΚΝΟΝ

Γ. Δ. ΡΟΔΟΚΑΝΑΚΗΣ

Α.Π.Θ.

Α.Π.Θ.

ΤΟΙΣ ΑΝΑΓΝΩΣΤΑΙΣ.

Προ τριῶν περίπη ἐτῶν διατρίβων ἐν Βιέννῃ ἤκουσα τοῦ σοφοῦ Χαμμέρου, τοῦ συγγραφέως τῆς Τουρκικῆς ἱστορίας, νὰ μέμφηται ἑαυτὸν, διότι δὲν ἠδυνήθη νὰ ἀνακαλύψῃ πῃ τὸ ἀπωλεσθὲν μέρος τῆς ἐπιστολῆς τοῦ Βαρνάβα· μολονότι, ὡς ἔλεγεν, ἀνεδάφησε πολλὰς Βιβλιοθήκας. Ἐγὼ δὲ ἀκούων τοῦ ἀνδρὸς οὐδὲν ἔλεγον (διότι ϗ οὐδεμίαν γνῶσιν εἶχον τοῦ πράγματος), ἀλλ' ἐθαύμαζον τὴν μεγάλην τοῦ ἀνδρὸς ἀγανάκτησιν διὰ τὴν ἀποτυχίαν τοῦ σκοποῦ του ϗ ἔλεγον ἐν ἑαυτῷ· ἀνακαλύψω ἆρά γε ποτὲ αὐτὴν ἐγώ; Μετὰ δὲ παρέλευσιν τριάκοντα ἡμερῶν μεταβὰς εἰς Ἀθήνας ϗ ὕστερον εἰς Κωνσταντινούπολιν, καὶ ἰδὼν ἐν τῷ μεταξὺ τὸν Ἱεροκήρυκα τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας Κύριον Προκόπιον Δενδρινὸν, καὶ δι' αὐτοῦ γνωρίσας (μετ' ὀλίγον) τὸν τότε φθάσαντα ἐξ Ὀδησσοῦ Κύριον Κ. Σιμωνίδην ἠρώτησα ἀμφοτέρους περὶ τοῦ ἐὰν ἀνέγνωσάν που ὁλόκληρον τὴν ἐπιστολὴν τοῦ Βαρνάβα. Καὶ παραυτὰ ἠπήντησεν ὁ Σιμωνίδης, ὅτι καὶ ἀνέγνωσε, καὶ ἀντίγραψε διὰ κεφαλαίων γραμμάτων ἐπὶ περγαμηνῆς, ϗ ἐπρόσθεσεν ἐν τῷ τέλει κώδηκός τινος τῶν ἱερῶν Γραφῶν, τὸν ὁποῖον ἔμελλεν ὁ θεῖος αὐτοῦ ἀείμνηστος Βενέδικτος,

ὁ ϗ ἡγούμενος τῆς Ῥωσσικῆς μονῆς χρηματήσας, τῆς ἐν Ἄθωνι, νὰ προσφέρῃ τῷ Αὐτοκράτορι Νικολάῳ. Τὰ αὐτὰ δὲ ἐπανέλαβε ϗ ὁ σοφὸς Προκόπιος. Τότε δὲ διηγηθεὶς αὐτοῖς τὰ ἀνωτέρω πάντα ϗ ζητήσας ἀντίγραφον τῆς ἐπιστολῆς παρὰ τοῦ Σιμωνίδου μοὶ ἠπήντησεν, ὅτι οὐδένα φέρει πλησίον του ἀντίγραφον· ἀλλ' ἂν μεταβῇ ϗ αὖθις εἰς Ἄθωνα, ὡς σκοπεύει, μεταγράψει αὐτὴν χάριν μου. Καὶ ἀληθῶς, μεταβὰς μετὰ μικρὸν ὁ Σιμωνίδης εἰς Ἄθωνα μετέγραψέ μοι αὐτὴν ἀρχαϊκῶς ϗ ἐσχολίασεν εὐφυῶς.

Τὴν ἀντιγραφὴν δὲ ταύτην λαβὼν ἐγὼ εὐχαρίστως καὶ πολλάκις ἀναγνοὺς, ϗ μεγάλως κατανυχθεὶς, ἀπεφάσισα νὰ ἐκδώσω ἰδίοις ἀναλώμασιν, ἐπὶ μόνῳ τῷ σκοπῷ τοῦ νὰ κάμω γνωστὸν εἰς πάντας καὶ τὸ ἐλλεῖπον μέρος αὐτῆς, ϗ τὰ σφάλματα τοῦ πολλάκις ἐκδοθέντος μέρους διορθωθῶσι· Λυποῦμαι δὲ μόνον, ὅτι δὲν ἠδυνήθην νὰ συνεκδώσω αὐτῇ ϗ τὰ σοφὰ σχόλια τοῦ Σιμωνίδου διά τε τὴν ἔκτασιν αὐτῶν, ϗ διότι ἀναγκάζομαι, ἕνεκα οἰκιακῶν ὑποθέσεων, νὰ μεταβῶ εἰς τὴν πατρίδα μου Χίον, ϗ διότι μόνον ἑκατὸν ἀντίτυπα μοὶ ἐσυγχωρέθη νὰ τυπώσω· ἂν δὲ ποτε κάμω ϗ δευτέραν ἔκδοσιν, ὡς σκοπεύω, τότε προσθέσω ἐξάπαντος ϗ τὰ σχόλια· διότι δι' αὐτῶν πολλὰ χωρία τῆς ἐπιστολῆς δυσνόητα ἐπιτυχῶς διασαφηνίζονται.

Ἤδη δὲ χρεωστῶ νὰ εὐχαριστήσω ϗ δημοσίως τὸν Κύριον Σιμωνίδην διὰ τὴν ὁποίαν ἔδειξε προθυμίαν, εἰς τὸ νὰ μᾶς ἀντιγράψῃ, ϗ σχολιάσῃ, ϗ παραβάλῃ πρὸς ἕτερα ἐξ παλαιὰ χειρόγραφα τῆς αὐτῆς ἐπιστολῆς, ϗ τὰς γραφικὰς

διαφορὰς προσγράψῃ πάσας ἐν τάξει ϗ φιλοκάλως· πρὸς δὲ ϗ διὰ τὴν σύντομον περὶ τῆς ἐπιστολῆς τοῦ ἁγίου Βαρνάβα, ϗ τοῦ Βαρνάβα αὐτοῦ, ἐπιστολὴν, τὴν ὁποίαν ϗ προτάττομεν τῆς ἐπιστολῆς τοῦ Αποστόλου, καθότι ἐνδιαφέρει τὴν ὑπόθεσιν μεγάλως.

Ἐν Σμύρνῃ. 1843. Ἰελίε 22.

Γ. Δ. Ῥοδοκανάκης.

Α.Π.Θ.

Ἐν Ἀθήν. πρώτῃ μεσοῦντος Ἰουνίου
τοῦ ἔτους ͵αωμγ΄.

Κ. Σιμωνίδης Γ. Δ. Ῥοδοκανάκῃ τῷ φιλτάτῳ
πλεῖστα χαίρειν, καὶ ἐῤῥῶσθαι.

Ὁ ἀγαθὸς Παρθένιος, ὦ Γεώργιε, ἀφίχθη εἰς Ἄθωνα ἐκ Σμύρνης ἐγκαίρως, καὶ τὴν ἐπιστολὴν ἐνεχείρησέ μοι τὴν σήν. Μέλλοντα δὲ ἤδη μεταβῆναι αὐτὸν εἰς Σμύρνην σήμερον, παρέδακ' αὐτῷ, ἣν πρὸ ἡμερῶν μετέγραψά σοι, κατὰ τὴν ἔφεσιν, ἐπιστολὴν τοῦ ἱεροῦ ΒΑΡΝΑΒΑ, ἑνὸς τῶν ἑπτὰ ἀποστολικῶν πατέρων. Μετέγραψα δ' αὐτὴν ἐκ τοῦ αὐτοῦ ἐκείνου ἀπογράφου τοῦ Γασπάρεως, καὶ παρέβαλον πρὸς ἕτερα ἕξ, τὸ Ἰβηριτικὸν, τὸ Θεοφίλειον (τὸ καὶ ἄλλως Καρακαλινὸν καλούμενον, ἀπὸ τοῦ ἀπογραφέως Θεοφίλου Καρακαλινοῦ, τοῦ ἐκ τῆς μονῆς τοῦ ΚΑΡΑΚΑΛΛΟΥ, τῆς πρὸς αὐγὰς τοῦ Ἄθω κειμένης), καὶ πρὸς τὸ Ἰβηριτικὸν, καὶ τὸ Ἀνικήτειον, καὶ τὸ Ὀνησίμου, καὶ τὸ τῆς Λαύρας, καὶ τὸ τοῦ Μαυρικίου· καὶ τὰς γραφικὰς διαφορὰς τούτων πάσας πρὸς τῇ πέζῃ ἑκάστης σελίδος τοῦ ὑπὲρ σοῦ ἀπογράφου ἐσημείωσα, ὅπως ποιήσω (ὅσον τὸ ἐπ' ἐμοὶ) τὸ ἔργον ἐντελές.

Ἐπὶ τῇ βάσει δὲ τούτων, ϗ μάλιστα τοῦ Γασπαρτίου, τοῦ πρώτως ἀνακαλυφθέντος, ἐξέγραψα ϗ τὸ ὑπὲρ τοῦ αὐτοκράτορος πασῶν τῶν Ῥωσσιῶν Νικολάου τοῦ πρώτου τῷ ϛ͞ω͞λ͞θ,´ ϗ τῷ ϛ͞ω͞μ´, καθάπερ ϗ σὺ οἶδας, ϗ προσέθηκα ἐν τῷ τέλει τῆς Νέας Διαθήκης κελεύσει τοῦ θείου μου· ϗ περὶ ὧν, πάντων; εἰπόν σοι ποτὲ προφορικῶς τὰ πάντα.

Ἐγράφη δὲ τὸ μὲν Γασπάρειον τῷ ͵Α͞Ρ͞Π͞Θ,´ τὸ δὲ Θεοφίλειον (τὸ ϗ Καρακαλινὸν ἑτέρως λεγόμενον) τῷ ͵Α͞Λ͞Θ͞Γ,´ τὸ δὲ τοῦ Ἀνικήτου τῷ Φ͞Β,´ τὸ δὲ Ἰβηριτικὸν τῷ ͵Α͞Τ͞Ι,´ τὸ δὲ τῆς Λαύρας τῷ ͵Α͞Τ͞Ν,´ τὸ δὲ τοῦ Μαυρικίῳ τῷ ͵Α͞Τ͞Ϛ,´ τὸ δὲ τοῦ Ὀνησίμου τῷ ͵Α͞Φ͞Κ.´

Τούτων δὲ πάντων ἐμήνυσα τὴν ὕπαρξιν ταῖς ἀρχικαῖς αὐτῶν γράμμασιν ἐν τῷ ὑπὲρ τοῦ αὐτοκράτορος ὑμετέρῳ ἀπογράφῳ τῶν ἱερῶν ΓΡΑΦΩΝ οὕτως: Ι, ΚΛ, Δ, Μ, ΟΤΑ (Ὅρα Τὸν Ἀνικήτου κώδηκα δηλονότι, σημαίνη τὸ ρ τ α ν. ϗ ὁ τοῦ Ἀνικήτου κώδηξ ἄλλως ἔχει), ϗ τ.λ.

Πλὴν δὲ τούτων ϗ ἑτέρων περὶ τῆς τοῦ Βαρνάβα ἐπιτομῆς σοφῶν ὑπομνημάτων τὰ ἀρχικὰ ἔγραψα γράμματα ἀτάκτως ἐντὸς δηλονότι τινῶν λέξεων, ϗ πρὸ αὐτῶν, ϗ μετ᾽ αὐάτς· ὥςπερ ϗ ἐν τῇ Παλαιᾷ ϗ τῇ Νέᾳ ἐποίησα περὶ ἑτέρων χειρογράφων· καὶ ἅπερ ὁ ἀγνοῶν ὑπολάβῃ εἶναι ἁμαρτήματα γραφικά, καθὸ ϗ διαγεγραμμένα ὄντα πολλὰ τούτων.

Ἐποίησα δὲ τοῦτο πρὸς ἡμετέραν ὁδηγίαν δευτέρῃ ἐν-

τελοῦς ἀπογράφου. Ἂν δὲ (Θεοῦ συνάρσει) τὸν προσεχῆ Δεκέμβριον μεταβῶμεν ἀμφότεροι εἰς Σίναιον ὄρος, καθὰ προαπεφασίσθη, καταδείξω σοι σὺν πᾶσι τούτοις καὶ τὰς ἀκροστιχίδας, χάριν περιεργίας.

Παρέλειψα δὲ μόνον τινὰς τῶν διορθώσεων, ἃς ἐπέφερεν ὁ ἡμέτερος θεῖος ἐπὶ τοῦ ὅλου τῆς ἐπιστολῆς, ϗ ὧν μικρὸν μέρος (καθόσον ἤδη ἐνθυμοῦμαι) ἔγραψα κἀγὼ ἐπὶ τῆς μεταγραφῆς. πρῶτον ὅτι οὐκ οἶδα ἤδη ἐκεῖναι τί ἐγένοντο. ϗ δεύτερον ὅτι τὸ ἀπόγραφον ἐκεῖνο, τὸ περιέχον τινὰς αὐτῶν κεῖται ἐν τῇ μονῇ τοῦ Σιναίου.

Τὰς δὲ κριτικὰς σημειώσεις ϗ θεολογικὰς διασαφήσεις, ἃς ἐφιλοπόνησα ἐν καιρῷ τῷ δέοντι, μεταγράψας σοι πάσας, καίτοι ἐκτεταμένας οὔσας, ἀποστέλλω σοι· περιέχουσι γὰρ ϗ αὗται τὸ ὠφέλημον.

Περὶ δὲ τοῦ ἱεροῦ Βαρνάβα ϗ τῆς ἐπιστολῆς αὐτοῦ τάδ' ἐδυνήθην ἀπανθῆσαι ἐκ τῶν προχείρων ἀρχαίων μαρτυριῶν:-

ΒΑΡΝΑΒΑΣ ἦν υἱὸς Βαῤῥαβᾶ, υἱὸς Ἰωσὴφ Λευΐτου. Ἐκαλεῖτο δὲ πρότερον, ὥς τινές φασι, Ἰωσῆς· ὡς δ' οἱ πλεῖστοι, ϗ μάλιστα τὰ ἀρχαῖα τῶν χειρογράφων τῆς Νέας Διαθήκης, Ἰωσήφ[1] Ἐπεκλήθη δὲ Βαρνάβας ὑπὸ τῶν

---

1. Ἐν χειρογράφῳ τινὶ ἀρχαίῳ ἀκρωτηριασμένῳ, τοῦ τρίτου αἰῶνος, ϗ περιέχοντι τὰς πράξεις τῶν ἁγίων Ἀποστόλων μόνας, ΙΩΣΗΦ ἀναγινώσκεται ϗ οὐχὶ ΙΩΣΗΣ.

Ἀποστόλων, ὃ υἱὸν παρακλήσεως σημαίνει ἑρμηνευόμενον· Ἰωσὴφ δὲ (φησὶν ὁ ἱερὸς Λουκᾶς ἐν ταῖς πράξεσι τῶν Ἀποσ. δ'. §36), ὁ ἐπικληθεὶς Βαρνάβας ἀπὸ τῶν Ἀποστόλων, ὅ ἐστι· μεθερμηνευόμενον,[2] υἱὸς παρακλήσεως· Λευίτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ πωλήσας ἤνεγκεν τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν Ἀποστόλων."[3]

Ἐγεννήθη δὲ ἐν Σαλαμίνῃ, πόλει τῆς νήσου Κύπρου,

ὡς ἐν τοῖς νεωτέροις· ὅθεν κἀγὼ βεβαιωθεὶς ταῦτα ἔγραψα τῇ κελεύσει τοῦ ἀειμνήστου θείου μου, ἐν ᾧ προητοίμαζον τότε ὑπὲρ τοῦ αὐτοκράτορος Νικολάου κώδηκι.

Ἐπαγγέλλεται δὲ τοῦτο μεταγραφέα ΠΑΠΙΑΝ τινὰ ἱερομόναχον ἐκ Λήμνου νήσου ὁρμώμενον, οὗ καὶ τὸ ἀρχικὸν γράμμα, τὸ Π, ἐσημείωσά που ἐν τῷ κώδηκι ἐκείνῳ πρὸς ἡμετέραν ὁδηγίαν ἑτέρας ἀντιγραφῆς. Σώζεται δὲ τὸ τοῦ Παπίου χειρόγραφον ἐν τῇ τοῦ Διονυσίου ἱερᾷ μονῇ, τῇ ἐνταῦθα.

2. Οὕτως ἐν τῷ τοῦ Παπίου χειρογράφῳ, ἐν ᾧ ἐν ἄλλοις ἄνευ τῆς προθέσεως, ΕΡΜΗΝΕΥΟΜΕΝΟΝ, ἀπαντᾶται.

3. Οὕτως καὶ τοῦτο ἐν τῷ τοῦ Παπίου ἔχει· ἐν ἑτέροις δὲ χειρογράφοις, ΠΡΟΣ ΤΟΙΣ ΠΟΣΙ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ· ἐν τισι δὲ, ΠΑΡΑ ΤΟΥΣ ΠΟΔΑΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ εὕρηται γεγραμμένον.

τῷ τρίτῳ ἔτει τῆς ΡΠΗ΄ Ὀλυμπιάδος, τῷ πρώτῳ, τουτέςιν, ἔτει πρὸ τῆς σωτηρίου ἐποχῆς.

Ἐν τοῖς οὖσι δὲ ϰ ἑβδομήκοντα Ἀποςόλοις καταλεγόμενος ϰ οὗτος, διηκόνησε τῷ λόγῳ μετὰ Παύλου πρώτως τὸν Χριςὸν ἐν Ῥώμῃ κηρύξαντες. Καὶ πολλὰς δὲ ἐκκλησίας ἰδίᾳ συςήσας, ϰ κυρίως τὴν ἐν Μεδιολάνοις, ἧς ϰ ἐπίσκοπος κατέςη πρῶτος. Μετὰ δὲ χρόνον πολὺν ἐπανελθὼν εἰς Κύπρον, συλλαμβάνεται ὑπὸ τῶν Ἰουδαίων ἐν τῷ διδάσκειν αὐτὸν τὰ πλήθη, ϰ λίθοις καταπετρωθεὶς ὁ μακάριος, παραδίδωσι τὸ πνεῦμα ἐν χερσὶ Κυρίου τῷ τρίτῳ ϰ ἑκατοςτῷ τῆς αὐτοῦ ἡλικίας ἔτει· Τὸ δὲ σῶμα αὐτοῦ ἄραντες οἱ μαθηταὶ ἔθαψαν οὐ μακρὰν τῆς Σαλαμῖνος ϰ ἐπὶ τοῦ ςήθους αὐτοῦ ἔθεσαν, ὃ αὐτὸς ἔγραψεν ἰδίᾳ χειρὶ κατὰ Ματθαῖον Εὐαγγέλιον Ἑλληνιςί· ϰ ὅπερ τῷ ΥΠΗ΄ ἔτει, ἐν ταῖς ἡμέραις Ζήνωνος τοῦ αὐτοκράτορος ἀνεκαλύφθη ἀκαίρειον ϰ ἀλώβητον τοῦ ἀποςολικοῦ τάφου ἀνεωχθέντος, καθάπερ σὺν τῷ Γεωργίῳ τῷ Κυπρίῳ, ϰ Εὐγενείῳ ϰ Διονυσίῳ. ϰ ἄλλοις ϰ Θεόδωρος ὁ Ἀναγνώςτης φησὶ τάδε ἐν τῷ β΄ βιβλίῳ §2 τῆς ἐκκλησιαςικῆς ἱςορίας:-

"Βαρνάβα τοῦ Ἀποςόλου τὸ λείψανον εὑρέθη ἐν Κύπρῳ ὑπὸ δένδρον κερατέαν, ἔχον ἐπὶ τοῦ ςήθους τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, ἰδιόχειρον τοῦ Βαρνάβα. ἐξ ἧς προφάσεως ϰ περιγεγόνασι Κύπριοι, τὸ αὐτοκέφαλον εἶναι τὴν κατ αὐτοὺς μητρόπολιν, ϰ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν

Τὸ δὲ τοιοῦτον Εὐαγγέλιον Ζήνων ὁ βασιλεὺς ἀπέθετο ἐν τῷ τοῦ πρωτομάρτυρος Στεφάνου ναῷ, τῷ ἐν τῷ παλατίῳ.[1]"

Ἡ δὲ ἐπιστολὴ αὐτοῦ γραφεῖσα ἐν Ῥόδῳ εἴκοσι καὶ πέντε ὅλα ἔτη πρὸ τῆς ἐν Κυρίῳ τελευτῆς αὐτοῦ, καὶ ἀποσταλεῖσα διὰ (Κάρπου συνεργοῦ αὐτοῦ ἐν Κυρίῳ, καὶ ἑνὸς τῶν ἑβδομήκοντα Ἀποστόλων ὄντος καὶ τούτου) πρὸς τοὺς ἐν Κύπρῳ ἐν Χριστῷ βαπτισθέντας Ἰουδαίους ἐπιγράφεται, ἐν μὲν τῷ Θεοφιλείῳ ἀπογράφῳ, οὕτω;-

"Βαρνάβα τοῦ Ἀποστόλου ἡ πρὸς Ἑβραίους ἐπιστολή."

Ἐν δὲ τῷ τοῦ Ἀνικήτου, οὕτω;-

"Ἡ πρὸς τοὺς ἐξ Ἑβραίων πιστοὺς ἐπιστολὴ Βαρνάβα τοῦ Ἀποστόλου."

Ἐν δὲ τῷ Ἰβηριτικῷ, ἑτέρως ἔχει ὡς ἑξῆς:-

"Ἡ τοῦ ἱεροῦ Βαρνάβα πρὸς τοὺς ἐξ Ἑβραίων καθολικὴ ἐπιστολή."

Ἐν δὲ τῷ τοῦ τοῦ Μαυρικίου ᾠδ' ἔχει:-

"Τὸ ἱερὸν τοῦ Ἀποστόλου Βαρνάβα γράμμα."

---

1 Τὸ χωρίον τοῦτο ἐλήφθη ἐκ χειρογράφου τινὸς σωζομένου ἐν τῇ μονῇ τοῦ ἁγίου Διονυσίου, ὅπερ παραβαλλόμενον πρὸς τὸ τῶν κοινῶν ἐκδόσεων διαφέρει οὐ μικρόν. Περιέχει δὲ (τὸ τοῦ Διονυσίου) σὺν ταῖς ΕΚΛΟΓΑΙΣ Θεοδώρου τοῦ Ἀναγνώστου καὶ ἕτερ' ἄττα λίαν περίεργα, τὴν ἐκκλησιαστικὴν ἱστορίαν ἀφορῶντα πάντα.

Ἐν δὲ τῷ τοῦ Ὀνησίμȣ ἦδε ἡ ἐπιγραφὴ αναγινώσκεται :-

" Ἐπιϛολὴ καθολικὴ Βαρνάβα τοῦ Ἀποϛόλȣ πρὸς τοὺς ἐξ Ἑβραίων πιϛούς. "

Ἐν δὲ τῷ τοῦ Γασπάρεως. ἀφ' οὗ ϗ τὸ ἡμέτερον ἐποίησα ἀπόγραφον. " Βαρνάβα ἐπιϛολὴ " ἐπιγράφεται·

Ἐν δὲ τῷ τῆςΛαύρας οὕτω ;-

' Βαρνάβα Ἀποϛόλȣ υἱοῦ Ἰωσήπου Λευΐτου τοῦ Σαλαμινίου ἡ πρὸς Ἑβραίους καθολικὴ ἐπιϛολή."

Φιλονεικοῦσι δὲ ϗ τὸ κῦρος αὐτῆς οἱ καθ' ἡμᾶς ἄκριτοι κριτικοὶ ὡς ἔθος αὐτοῖς. ἐν τοῖς ἀποκρύφοις ϗ ψευδεπιγράφοις κατατάττοντες αὐτὴν ὅτι τὸν Εὐσέβιον παρενόησαν, ὃς ἐν τοῖς ἀντιλεγομένοις, τοῖς μὴ κανονικοῖς δηλονότι, καταγράφει αὐτὴν ἐν ᾧ, ἀφ' ἑτέρȣ, Κλήμης ὁ Ἀλεξανδρεὺς, ϗ Ὠριγένης οἱ παλαίτεροι τούτȣ, ϗ τὰ τῆς ἐκκλησίας κάλλιον παντὸς ἑτέρου οἰδότες καθολικὴν ἐπιγράφȣσιν, ὥςπερ ϗ ἄλλοι σύγχρονοι ϗ ὑϛερόχρονοι τούτοις· ἐπὶ πᾶσι δὲ ϗ τὰ μέχρις ἡμῶν κατελθόντα χειρόγραφα τῆς ἐπιϛολῆς τοῦ Βαρνάβα ἐπικυροῦσι μᾶλλον τοῦτο.

Ἔχει δὲ τὰ τῆς ἐπιϛολῆς ὧδε :-

ΒΑΡΝΑΒΑ

ΤΟΥ ΑΠΟΣΤΟΛΙΚΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

Η

ΠΡΟΣ ΤΟΥΣ ΕΞ ΕΒΡΑΙΩΝ ΠΙΣΤΟΥΣ

ΕΠΙΣΤΟΛΗ.

Α.Π.Θ.

Α.Π.Θ.

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ.*

ΧΑΙΡΕΤΕ, υἱοὶ καὶ θυγατέρες, ἐν ὀνόματι § Κυρίου¹ τοῦ ἀγαπήσαντος ἡμᾶς, ἐν (ε)ἰρήνῃ.²

Μεγαλων μὲν ὄντων³ καὶ πλουσίων τῶν τοῦ θεοῦ δικαιωμάτων⁴ εἰς ὑμᾶς, ὕπερ τι καὶ καθ' ὑπερβολὴν

Σημειώσεις ϗ γραφικαὶ διαφοραὶ ἑπτὰ ἀπογράφων τῆς τοῦ ἱεροῦ Βαρνάβα καθολικῆς ἐπιστολῆς.

* Ἐῤῥέθη ὡς ἡ ἐπιγραφὴ τῆς τοῦ Βαρνάβα ἐπιστολῆς ἄλλως ϗ ἄλλως ἀναγιγνώσκεται, ἐν οἷς προεσημείωσα χειρογράφοις ἀρχαίαις.

§ Τὰ ὀνόματα Κύριος, Θεὸς, Ἰησοῦς, Χριστὸς, Πνεῦμα, πατὴρ, υἱὸς, ἄνθρωπος, πνευματικὸς, Ἱερησαλὴμ, Ἰσραὴλ, ϗ ἄλλα τούτοις ὅμοια, ϗ τὰ ἐξ αὐτῶν σημειοῦνται ἐν τῷ Γ. χειρ. διά τε τοῦ πρώτη ϗ τοῦ τελευταίη γράμματος αὐτῶν ϗ τῆς ἐπ' αὐτῶν καμβυλοκεραίας ἐν πάσαις ταῖς πτώσεσι κατὰ ἀρχαῖον ἔθος, ὥςπερ οἶδας. ϗ ὅπερ ἄσκοπον εἰκασθῆναι ἐνταῦθα δι' ἰδικοῦ σημείη. προσέθηκα δ' ἐγὼ πρὸς τῷ τῆς συντομίας ἐμβλήματι (τὴν καμ-

ὑπερευφρένομαι[5] ἐπὶ τοῖς μακαρίοις ϗ ἐνδόξοις ὑμῶν πνεύμασιν,[6] οὗ τὸ ἔμφυτον τῆς δωρεᾶς πνευματικῆς χάριν εἰλήφατε. Δι' ὃ καὶ μᾶλλον συγχαίρω ἐμαυτῷ,[7] ἐλ-

---

βυλοκεραίαν) ϗ τὴν ἀπόστροφον ἐπὶ πολλῶν συντετμημένων λέξεων τοῦ ὑπὲρ τοῦ αὐτοκρ. κώδηκος.

1. Καρακάλη χειρόγραφον, 'Σωτῆρος Χριστοῦ.' Ἰσήρων χειρ. 'τοῦ Σωτ. ἡ. Ἰ. Χριστοῦ.'

2. Τὰ ἐν ταῖς παρενθέσεσι περιλαμβανόμενα γράμματα ἔτι πρόσθεσις τοῦ μεταγραφέως ἐμοῦ· ϗ γὰρ ἐν τῷ πρωτοτύπῳ οὐχ ὑπάρχυσιν· ὅτι ἐπὶ κατὰ φωνητικὴν ὀρθογραφίαν ϗ οὐχὶ κατὰ γραμματικοὺς κανόνας. Ἀπόδειξις ϗ τοῦτο τρανωτάτη τῆς γνησίας προφορᾶς ἡμῶν· οὐδεμία γὰρ διάκρισις γίνεται μεταξὺ τῶν διφθόγγων ϗ τῶν ἁπλῶν γαμμάτων Α ϗ Ε ϗ Ι ϗ Η ϗ Υ.

3. Τὸ Ν τῶν τελευταίων λέξεων ἑκάστη σίχυ ἀποβάλλεται ϗ σημειοῦται τῇ κυρτωκεραίᾳ· οὐχ ἧττον δὲ ϗ πολλαὶ τῶν λέξεων, τῶν ἐν τῷ μέσῳ τῶν σίχων ὥς περ ϗ πολλαὶ αὐτῶν ἔχυσαι αὐτὸ ἐν τῷ μέσῳ (τοῦ Γασπαρίυ χειρ) τοῦτ' αὐτὸ πάσχυσιν· ὅπερ κἀγὼ ἐμιμησάμην ἐν τῷ ὑπὲρ τοῦ αὐτοκράτ. κώδηκι., ϗ ὃ περιττὸν ὅλως διακριθῆναι ἐνταῦθα.

4. 'Ονησίμυ χειρ. 'δωρημάτων.' Ἀνικήτυ χειρ. 'ἀξιώσεων.' 5 Γασ. 'ὑπερευφρένομαι,' 'Ον. 'ὑπεραγάλλομαι.

6. 'Ιε. , πνευματικοῖς χαρίσμασιν.' 7 Γασπάριως

πίζων σωθῆναι, ὅτι ἀληθῶς βλέπω ἐν ὑμῖν ἐκκεχυμένον ἀπὸ τοῦ πλουσίου τῆς ἀγάπης Κυρίου πνεῦμα[8] ἐφ' ὑμᾶς. Οὕτω μὲ ἐξέπληξεν ἐπὶ ὑμῶν[9] ἡ ἐπιποθητὴ ὄψις ὑμῶν. Πεπεισμένος οὖν τοῦτο καὶ συνειδὼν[10] ἐμαυτῷ, ὅτι ἐν ὑμῖν λαλήσας, πολλὰ ἐπίσταμαι, ὅ τι ἐμοὶ συνώδευσεν ἐν ὁδῷ δικαιοσύνης Κύριος καὶ πάντως ἀναγκάζομαι[11] κἀγὼ εἰς τοῦτο ἀγαπᾶν ὑμᾶς ὑπὲρ τὴν ψυχήν μου· ὅτι μεγάλη πίστις καὶ ἀγάπη ἐγκατοικεῖ ἐν ὑμῖν ἐλπίδι[12] ζωῆς αὐτοῦ. Λογισάμενος οὖν τοῦτο, ὅτι ἐὰν μελήσῃ μοι περὶ ὑμῶν, τοῦ μέρους τι[13] μεταδοῦναι, ἀφ' οὗ ἔλαβον ὅτι ἔσται μοι τοιούτοις πν(εύμ)ασιν ὑπηρετήσαντι εἰς μισθόν, ἐσπούδασα κατὰ μικρὸν ὑμῖν πέμπειν,[14] ἵνα μετὰ τῆς πίστεως ὑμῶν τελείαν ἔχητε[15] τὴν γνῶσιν. Τρία οὖν δόγματά ἐστιν Κυρίου· ζωή, πίστις, ἐλπίς, ἀρχή. καὶ τέλος ἡμῶν, καὶ δικαιοσύνη κρίσεως ἀρχή. καὶ τέλος· ἀγάπη, εὐφροσύνη, καὶ ἀγαλλιάσεως ἔργων ἐν δικαιοσύναις μαρτύρια.[16] Ἐγνώρισεν γὰρ ἡμῖν ὁ Δεσπότης διὰ τῶν προφη-

---

χειρόγ. 'συνχαίρω ἐμαυτῷ.' Μαυρικίῃ χειρόγρ. 'συγχαίρω ἐμαυτόν.' 8 (ζ) Κα. 'πνεῦμα χάριτος.' 9 Λν. 'ἐφ' ὑμῶν πάντων.' 10 Κα. 'ϗ πάντα, συνιδὼς ἐν ἐμαυτῷ. ὅτι ὁ ἐν.' 11 Γασπ. 'ἀναγκάζομε.' 12 Γασπ. 'ἐλπίδει.' 13 Γασπ. 'τοῦ μέρος τι.' 14 I. K. O. 'πέμψαι.' 15 Γ. 'ἔχηται.' 16 Λαύρ. ϗ 'Ιε. ζωή, πίστις, ἐλπίδος ἀρχή, ϗ τέλος ἡμῶν. ϗ δικαιοσύνη (Γ. δικιοσύνη) κρίσεως

τῶν τὰ παραλελυθότα [17] καὶ τὰ ἐνεστῶτα τῶν μελλόντων δοὺς ἀπαρχὰς ἡμῖν γεύσεως, ὧν τὰ καθ' ἕκαστα βλέποντες ἐνεργούμενα, καθὼς ἐλάλησεν, ὀφ(ε)ίλομεν πλουσιώτερον καὶ ὑψηλότερον προσάγειν [18] τῷ φόβῳ αὐτοῦ. Ἐγὼ δὲ οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς εἷς ἐξ ὑμῶν ὑποδείξω ὀλίγα, δι' ὧν ἐν τοῖς παροῦσιν εὐφρανθήσεσθε. Ἡμερῶν οὖν οὐσῶν πονηρῶν, καὶ αὐτοῦ τοῦ ἐνεργοῦντος ἔχοντος τὴν ἐξουσίαν, ὀφ(ε)ίλομεν ἑαυτοῖς προσέχειν [19] προσέχοντες δὲ, ἐκζητεῖν τὰ δικαιώματα Κυρίου. Τῆς οὖν πίστεως [20] ἡμῶν εἰσὶν βοηθοὶ φόβος. ὑπομονή. τὰ δὲ συμμαχοῦντα ἡμῖν μακροθυμία καὶ ἐγκράτ(ε)ια. Τούτων [21] μενόντων, τὰ πρὸς Κύριον, ἁγνῶς, συνευφραίνονται αὐτοῖς σοφία, σύνεσις ἐπιστήμη, γνῶσις. Πεφανέρωκεν γὰρ ἡμῖν διὰ πάντων τῶν προφητῶν, ὅτι οὔτε θυσιῶν, οὔτε ὁλοκαυτωμάτων, οὔτε προσφορῶν χρήζει, λέγων· ὅτε μέν: " τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος. Πλήρης εἰμὶ ὁλοκαυτωμάτων,[22] καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆ-

---

ἀρχῆς πάσης, ϗ τέλους παντός· ϗ τέλος ἀγάπη ϗ εὐφροσ, ϗ ἀγ.ἐρ. ἐν δ. μαρ.' 17 Γ ' παρεληλυθότα.' 18 Αν. ' προσάγειν ἡμᾶς.' 19 Οὕτως τὸ 'Αν. ϗ τἄλλα, τὸ δὲ τοῦ Γ, ' ἑαυτοῖς προσέχοντες ἐκζητεῖν,' 16 'αὐτοὺς προσέχειν.' 20 Λαύρας, 'τῆς πίστεως μέντοι ὑμῶν' 21 Μ. ' Τούτων δὲ μ.' 22 Μ. ' ὁλοκαυτ. κριῶν, ϗ στέαρ.'

ναί μοι. Τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χ(ε)ιρῶν ὑμῶν; Πάτ(ε)ῖν τὴν αὐλὴν οὐ προσθήσεσθε. οὐδὲ ἐὰν φέρητε[23] σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοι ἐστίν. Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι."

Ταῦτα οὖν κατήργησεν, ἵνα ὁ καινὸς νόμος τοῦ Κυρίου[24] ἡμῶν Ἰησοῦ Χριστοῦ ἄνευ ζυγοῦ ἀνάγκης ὢν μὴ ἄνθρωπον ποιητὸν ἔχῃ τὴν προσφοράν. Λέγει δὲ πάλιν πρὸς αὐτούς· "μὴ ἐγὼ ἐνετ(ε)ιλάμην τοῖς πατράσιν ὑμῶν ἐκπορευομένοις ἐκ γῆς Αἰγύπτου προσενέγκαι μοι ὁλοκαυτώματα καὶ θυσίας; ἀλλ' ἢ τοῦτο ἐνετ(ε)ιλάμην αὐτοῖς, ἕκαστος ὑμῶν κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ ἑαυτοῦ[25] κακίαν μὴ μνησικακίτω, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε."[26] Αἰσθάνεσθε οὖν ὀφ(ε)ίλομεν μὴ ὄντες ἀσύνετοι τὴν γνώμην τῆς ἀγαθωσύνης τοῦ Πατρὸς ἡμῶν· ὅτι ἡμῖν λέγει θέλων ἡμᾶς μὴ ὁμοίως πλανωμένους ἐκείνοις ζητ(ε)ῖν πῶς. Προσάγωμεν αὐτῷ ἡμῖν οὖν. οὕτως λέγει θυσία τῷ Θεῷ, καρδία συντετριμμένη, ὡς[27] μὴ εὐωδίας τῷ Κυρίῳ καρδίᾳ δοξάζουσα τὸν πεπλακότα[28]

---

23 Γ. 'οὐ προσθήσεσθαι. οὐδὲ ἐὰν φέρηται.' 24 'Ι. 'τοῦ Κ. καὶ Θεοῦ ἡμ.' Κα. 'τη Κ. ἡμ. καὶ Σωτῆρος Ιησ. Χριτοῦ ἄνευ ζυγοῦ τινος ἀνάγκης ὤν, οὐ μὴ ἀνθρώπῳ μηδενὶ ποιητὴν ἔχῃ τὴν προσ.' 'Αν. 'οὐ μὴ μηδένα ἄνθρωπον ποιητόν.' 25 Μ. Γ. 'αὐτοῦ.' 26 Γ 'ἀγαπᾶται. Αἰσθάνεσθαι οὖν' 27 Γ. 'ος.' 28 Λ. 'πεποιηκότα,' 'Ι.

αὐτήν. Ἀκριβεύεσθαι οὖν ὀφ(ε)ίλομεν, ἀδελφοί, περὶ τῆς σωτηρίας ἡμῶν, ἵνα μὴ ὁ πονηρὸς[29] παρ(ε)ίσδυσιν πλάνης ποιήσας ἡμῖν ἐκσφενδονήσῃ ἡμᾶς[30] ἀπὸ τῆς ζωῆς ἡμῶν. Λέγει οὖν πάλιν περὶ τούτων πρὸς αὐτούς· "Ἵνα τί μοι νηστεύητε,[31] λέγει Κύριος, ὡς σήμερον, ἀκουσθῆναι κραυγῇ[32] τὴν φωνὴν ὑμῶν, οὐ ταύτην τὴν νηστ(ε)ίαν ἐγὼ ἐξελεξάμην, λέγει Κύριος, οὐκ ἄνθρωπον ταπ(ε)ινοῦντα τὴν ψυχὴν αὐτοῦ, οὐδ' ἂν κάμψητε[33] ὡς κρίκον τὸν τράχηλον ὑμῶν, ϗ σάκκον ϗ σποδὸν ὑποστρώσητε,[34] οὐδ' οὕτως καλέσετε[35] νηστ(ε)ίαν δεκτὴν πρὸς ὑμᾶς.[36] Λέγει, ἰδοὺ αὕτη νηστ(ε)ία, ἣν ἐγὼ ἐξελεξάμην. Λέγει Κύριος. οὐκ ἄνθρωπον ταπ(ε)ινοῦντα τὴν ψυχὴν αὐτοῦ, ἀλλὰ λύε πάντα[37] σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφήν. διάθρυπτε[38] π(ε)ινῶσιν τὸν ἄρτον σου. καὶ γυμνὸν ἐὰν ἴδῃς[39] περίβαλε, ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ϗ ἐὰν ἴδῃς ταπ(ε)ινὸν οὐχ ὑπερόψει[40] αὐτόν, οὐδὲ ἀπὸ τῶν οἰκ(ε)ίων

'ποιήσαντα.' 29 Ἰ. 'ἵνα μὴ ὁ π. ὁ πάσης κακίας ϗ πονηρίας πατὴρ παρ.' 30 Ἀν. 'ὑμᾶς.' 31 Γασπάρ. χειρ. 'νηστεύεται.' 32 Ὀνησίμου χειρόγραφον, 'ἐν κραυγῇ.' 33 Γασπ. 'κάμψηται.' 34 Γασπ. 'ὑποστρώσηται.' 35 Γασπ. 'καλέσεται.' 36 Γασπ. 'πρὸς ἡμᾶς.' 37 Γ. 'λ. πᾶν συνδ.' 38 Λ. 'διάθρεπτε.' 39 Γ. 'εἴδῃς.' 40 Λ. 'ϗ

τοῦ σπέρματός σου. Τότε ῥαγήσεται πρώϊμον[41] τὸ φῶς σου, ϗ τὰ ἰάματά σου[42] ταχέως ἀνατελεῖ, ϗ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη, ϗ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Τότε βοήσεις,[43] ϗ ὁ Θεὸς ἐπακούσεταί σε, ἔτι λαλοῦντός σου ἐρεῖ,[44] ἰδοὺ πάρειμι. Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον ϗ χειροτονίαν, ϗ ῥῆμα γογγυσμοῦ, ϗ δῷς π(ε)ινῶντι τὸν ἄρτον σε ἐκ ψυχῆς σε, ϗ ψυχὴν τεταπεινωμένην ἐλεήσῃς." Εἰς τοῦτο οὖν, ἀδελφοί, ὁ[45] μακρόθυμος προβλέψας, ὡς ἐν ἀκεραιοσύνῃ[46] πιστεύσει ὁ λαὸς, ὃν ἡτοίμασεν ἐν τῷ ἠγαπημένῳ αὐτοῦ, προεφανέρωσεν γὰρ ἡμῖν περὶ πάντων, ἵνα[47] μὴ προσρησσώμεθα ὡς ἐπίλυτοι τῷ ἐκείνων νόμῳ.[48] Δεῖ οὖν ἡμᾶς περὶ τῶν ἐνεστώτων ἐπὶ πολὺ ἐρευνῶντας[49] ἐκζητεῖν τὰ δυνάμενα[50] ἡμᾶς σώζειν. Φύγωμεν οὖν τελείως ἀπὸ πάντων τῶν ἔργων τῆς ἀνομίας, μή ποτε καταλάβῃ ἡμᾶς τὰ ἔργα τῆς

ὑπεσόψει.' 41 Γ. 'πρώϊμον.' 42 Γ. 'ἵματα.' πάντα δὲ τὰ λοιπὰ, 'ἵματα.' 43 Τὸ χωρίον τοῦτο, ἀπὸ τοῦ 'ΤΟΤΕ — ΠΑΡΕΙΜΙ' ἀνεπλήρωσα ἐκ τοῦ Καρακαλινοῦ χειρογράφε· ὅτι τὸ τοῦ Γασπάρεως ἐστὶν ἐνταῦθα ὅλως ὑπὸ τοῦ χρόνε διεφθαρμένον. 44 Γασπ. χειρ. 'ἐρῖ.' 45 Γ. 'αὖ, μακρόθυμος.' Ἰβηριτικὸν· 'ἀδελφοί, ὁ μακρόθυμος.' 46 Γ. 'ἀκεραιοσύνη.' 47 Γασ. 'εἴνα.' 48 Γ. 'τῷ ἐκείνων νόμων' τὸ Ἰβηριτικὸν δὲ ϗ τὰ λοιπὰ, 'τῷ ἐκείνων νόμῳ.' 49 Γ. 'ἐραυνόντας.' 50 Γ. 'δυνόμενα.'

ἀνομίας, καὶ μισήσωμεν τὴν πλάνην τοῦ νῦν καιροῦ. ἵνα εἰς τὸν μέλλοντα ἀγαπηθῶμεν,[51] μὴ δῶμεν τῇ ἑαυτῶν ψυχῇ ἄνεσιν, ὥστε ἔχ(ε)ιν αὐτὴν ἐξουσίαν μετὰ ἁμαρτωλῶν ϗ πονηρῶν συντρέχειν, μήποτε ὁμοιωθῶμεν αὐτοῖς. Τὸ τέλ(ε)ιον σκάνδαλον, γέγραπται,[52] ἤγγικεν περὶ οὗ γέγραπται, ὡς Ἐνὼχ[53] λέγει. εἰς τοῦτο γὰρ ὁ Δεσπότης συντέτμηκεν τοὺς καιροὺς ϗ τὰς ἡμέρας. ἵνα ταχύνῃ ὁ ἠγαπημένος αὐτοῦ, καὶ ἐπὶ τὴν κληρονομίαν ἥξει. Λέγει δὲ οὕτως καὶ ὁ προφήτης· "βασιλεῖαι δέκα ἐπὶ τῆς γῆς βασιλεύσουσιν καὶ ἐξαναστήσεται ὄπισθεν αὐτῶν μικρὸς βασιλεὺς, ὃς ταπεινώσει τρίς[54] ὑφ' ἓν τῶν βασιλέων." Ὡμοίως περὶ τοῦ αὐτοῦ λέγ(ε)ι Δανιήλ· "Καὶ (ε)ἶδον τὸ τέταρτον θηρίον πονηρὸν καὶ ἰσχυρὸν, καὶ χαλεπώτερον παρὰ πάντα τὰ θηρία τῆς γῆς ϗ ὡς ἐξ αὐτοῦ ἀνέτ(ε)ιλεν δέκα κέρατα[55] ϗ ἐξ αὐτῶν μικρὸν κέρας παραφυάδιον· ϗ ὡς ἐταπ(ε)ίνωσεν[56] τρία τῶν μεγάλων

---

51 Γασπ. χειρόγραφον, 'ἀγαπήσωμεν.

52 Τὸ ῥῆμα 'γέγραπται,' οὐχ ὑπάρχει ἐν πᾶσι τοῖς χειρ. ἀλλ' ἐν τῷ τοῦ Καρ. ϗ 'Ις. 53 'Ι. ὁ 'Ενωχ' 'Ανικ. 'ὁ Ἐνώχιος,' Λ. 'ὁ Ἔνηχος.' 54 οὕτω ϗ τὸ 'Αν. ϗ τὸ Λ' τὰ δὲ λοιπά, 'τρεῖς.' 55 Λ. 'ἀνέτειλον δέκα ἑλικοκέρατα. 56 Σημ. Κα. λέγει, 'ϗ ὡς ἐταπείνωσε τὰ τρία τῶν κρατίστων ϗ μεγάλων κεράτων.' οὕτως ἀναγιγνώσκεται ἐν τῇ περισελίφ σημ. τοῦ Καρακαλινοῦ χειρογράφῳ. 57 Γασ-

κεράτων." Συνιέναι οὖν ὀφ(ε)ίλετε.[57] ἔτι δὲ ϗ τοῦτο ἐρωτῶ ὑμᾶς ὡς εἷς ἐξ ἡμῶν ὤν, ἰδίως[58] δὲ καὶ πάντας ἀγαπῶν ὑπὲρ τὴν ψυχήν μου προσέχειν νῦν ἑαυτοῖς ϗ μὴ ὁμοιοῦσθαι τισὶν, ἐπισωρεύοντες ταῖς ἁμαρτίαις ὑμῶν λέγοντας,[59] ὅτι ἡ διαθήκη ἡμῶν μὲν, ἀλλ' ἐκεῖνοι οὕτως εἰς τέλος ἀπώλεσαν αὐτήν. Λαβόντος ἤδη τοῦ Μωϋσέως, λέγει γὰρ ἡ γραφή· "Καὶ ἦν Μωϋσῆς ἐν τῷ ὄρ(ε)ι νηστεύων ἡμέρας Μ', ϗ νύκτας Μ', ϗ ἔλαβεν τὴν διαθήκην ἀπὸ τοῦ Κυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τῆς χειρὸς τοῦ Κυρίου." ἀλλὰ ἐπιστραφέντες ἐπὶ τὰ εἴδωλα ἀπώλεσαν αὐτήν. Λέγει γὰρ οὕτως Κύριος "Μωσῆ, Μωσῆ, κατάβηθι τὸ τάχος, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς[60] ἐξήγαγες ἐκ γῆς Αἰγύπτου. ϗ συνῆκεν Μωσῆς ϗ ἐῤ(ῥ)ιψεν τὰς δύο πλάκας ἐκ τῶν χειρῶν αὐτοῦ[61] ϗ συνετρίβη αὐτῶν ἡ διαθήκη, ἵνα ἡ τοῦ ἠγαπημένου Ἰησοῦ ἐγκατασφραγισθῇ[62] εἰς τὴν καρδίαν ἡμῶν ἐν ἐλπίδι τῆς πίστεως αὐτοῦ. Πολλὰ δὲ ἤθελον[63] γράφειν οὐχ ὡς διδάσκαλος, ἀλλ' ὡς πρέπ(ε)ι ἀγαπῶντι ἀφ' ὧν ἔχομεν μὴ ἐλ-

---

'ὀφίλεται.' 58 Γ. 'ἰδείως.' 59 Οὕτω τὸ τοῦ Γ. τὸ δὲ τοῦ 'Αν. 'λέγοντες.' 'Ιβ. 'ἐπισωρεύοντες ταῖς ἁμαρτίαις ὑμῶν ϗ ἑτέρας ἁμαρτίας λέγοντες· ὅτι ἡ διαθήκη τῶν πατέρων ἡμῶν μὲν ἐστὶν, ἀλλ' ἐκ.' 60 'Αν. 'ὃν.' 61 Γ. αὐτῶν. 62 Γασπάρεως, 'ἐνκατοσφραγισθῇ' 63 Γ. 'θέλων γρ.' 'Ιβηριτικὸν, 'ἤθελον γράφειν ὑμῖν.' 64 Γ. 'γρα-

λ(ε)ίπειν, γράφειν ἐσπούδασα·[64] δι' ὃ περίψημα ὑμῶν προσέχομεν ἐν ταῖς ἐσχάταις ἡμέραις· οὐδὲν γὰρ ὠφελήσει ὑμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ὑμῶν, ἐὰν μὴ νῦν ἐν τῷ ἀνόμῳ καιρῷ κ̀ τοῖς μέλλουσιν σκανδάλοις, ὡς πρέπει υἱοῖς Θεοῦ ἀντιστῶμεν, ἵνα μὴ σχῇ παρείσδυσιν ὁ μέλας· Φύγωμεν ἀπὸ πάσης ματαιότητος μισήσωμεν τελ(ε)ίως τὰ ἔργα τῆς πονηρίας, κ̀ τῆς πονηρᾶς ὁδοῦ ἐγκλίνωμεν φεύγοντες μετ' ἀποστροφῆς.[65] Μὴ καθ' ἑαυτοὺς ἐνδύνοντες, μονάζετε[66] ὡς ἤδη δεδικαιωμένοι, ἀλλ' ἐπὶ τὸ αὐτὸ συνερχόμενοι συζητεῖτε[67] περὶ τοῦ κοινῇ συμφέροντος. Λέγει γὰρ ἡ γραφή, "Οὐαὶ οἱ συνετοὶ ἑαυτοῖς, κ̀ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. Γενώμεθα πνευματικοί, γενώμεθα ναὸς τέλ(ε)ιος τῷ Θεῷ. Ἐφ' ὅσον ἐστὶν ἐν ἡμῖν, μελετῶμεν τὸν φόβον τοῦ Θεοῦ, φυλάσσ(ε)ιν ἀγωνιζώμεθα τὰς ἐντολὰς αὐτοῦ, ἵνα τοῖς δικαιώμασιν αὐτοῦ ζήσωμεν εὐφρενόμενοι. Ὁ Κύριος ἀπροσωπολήπτως κριν(ε)ῖ[68] τὸν κόσμον. ἕκαστος καθὼς ἐποίησεν, κομιεῖται. ἐὰν ᾖ ἀγαθός, ἡ δικαιοσύνη αὐτοῦ προηγήσεται αὐτοῦ· ἐὰν ᾖ πονηρός, ὁ μισθὸς τῆς πονηρίας ἔμπροσθεν αὐτοῦ προηγήσεται[69] ἵνα μή-

---

φήν.' Ἀνικ. 'μὴ ἐλλείπειν, γράφειν γραφὴν ἐσπούδασα.' Μ. 'γράφω γραφὴν ἐσπ.' 65 Γασ. 'τῆς πονηρίας ὁδοῦ. 'πονηρᾶς ὁδοῦ' τὸ τοῦ Ἀν. χειρ. τὰ δὲ λοιπὰ πάντα ὡς ἐνταῦθα. 66 Γ. 'μονάζεται. 67 Γασπ. 'συνζητεῖται. 68 Οὕτω πάντα τὰ χειρόγραφα, τὸ δὲ τοῦ Γ. 'ἵνα τοῖς

ποτε ἐπαναπαυόμενοι, ὡς κλητοὶ, ἐπικαθυπνώσωμεν ταῖς ἁμαρτίαις ἡμῶν κ̓ ὁ πονηρὸς ἄρχων λαϐὼν τὴν καθ' ἡμῶν ἐξουσίαν ἀπώσηται ἡμᾶς ἀπὸ τῆς βασιλείας τοῦ Κυρίου. Ἔτι δὲ κἀκ(ε)ῖνο, ἀδελφοί μου, νοεῖτε ὅταν βλέπητε μετὰ τηλικαῦτα σημεῖα κ̓ τέρατα γεγονότα ἐν τῷ Ἰσραὴλ· καὶ οὕτως ἐγκαταλελ(ε)ῖφθαι αὐτούς. Προσέχωμεν μήποτε, ὡς γέγραπται, πολλοὶ κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοὶ εὑρεθῶμεν." Εἰς τοῦτο γὰρ ὑπ(ε)μεινεν ὁ Κύριος παραδοῦναι τὴν σάρκα εἰς καταφθορὰν, ἵνα τῇ ἀφέσει τῶν ἁμαρτιῶν ἁγνισθῶμεν ὅ ἐστιν ἐν τῷ αἵματι τοῦ ῥαντίσματος αὐτοῦ. Γέγραπται γὰρ περὶ αὐτοῦ, ἃ μὲν πρὸς τὸν Ἰσραὴλ, ἃ δὲ πρὸς ἡμᾶς. Λέγει δὲ οὕτως. "Ἐτραυματίσθη διὰ τὰς ἀνομίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν, τῷ μώλωπι αὐτοῦ ἡμ(ε)ῖς ἰάθημεν ὡς πρόϐατον ἐπὶ σφαγὴν ἤχθη κ̓ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κ(ε)ίραντος αὐτόν." Οὐκοῦν ὑπερευχαριστ(ε)ῖν

δικαιώμασιν ὁ Κς ἀπροσωπολήμπτως κρινεῖ. 69 Οὕτω πάντα τὰ χειρ. Τὸ δὲ τοῦ Γασ. οὕτω, 'ὁ μισθὸς τῆς πονηρίας ἔμπροσθεν αὐτοῦ ἵνα μήποτε. 70 Ὁ τοῦ Ἀνικήτου κώδηξ· " ἔτι δὲ κἀκεῖνο νοεῖτε, ἀδελφοί μου ἀγαπητοί, ὅταν βλέπητε (Γ. βλέπεται) μετὰ τὴν προήγησιν τηλικούτων σημείων κ̓ τεράτων γεγονότων ἐν τῷ Ἰσραὴλ ἐγκαταλελεῖφθαι (Γ. ἐνκαταλελῖφθαι) αὐτοὺς ἐν τῇ τυφλώσει αὐτῶν οὕτως. 71 Μ. 'ὑμῶν, οὕτω κ̓ ἡ ἑπομένη

ὀφείλομεν τῷ Κυρίῳ, ὅτι ϗ τὰ παραλεληθότα[72] ἡμῖν ἐγνώρισεν, ϗ ἐν τοῖς ἐνεστῶσιν ἡμᾶς ἐσόφισεν, ϗ εἰς τὰ μέλλοντα οὐκ ἐσμὲν ἀσύνετοι. Λέγει δὲ ἡ γραφή· "Οὐκ ἀδίκως ἐκτίνεται δίκτυα πτερωτοῖς." Τοῦτο λέγ(ε)ι, ὅτι δικαίως ἀπόλ(λ)υται[73] ἄνθρωπος, ὁ ἔχων ὁδοῦ δικαιοσύνης γνῶσιν, ἑαυτὸν εἰς ὁδὸν σκότους ἀποσυνέχει." Ἔτι δὲ ϗ τοῦτο, ἀδελφοί μου, εἰ ὁ Κύριος ὑπέμ(ε)ινεν παθεῖν περὶ τῆς ψυχῆς ἡμῶν, ὢν πα(ν)τὸς τοῦ κόσμου κύριος, ᾧ εἶπεν ὁ Θεὸς ἀπὸ καταβολῆς κόσμου. "Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ϗ καθ' ὁμοίωσιν ἡμετέραν." Πῶς οὖν ὑπέμ(ε)ινεν ὑπὸ χ(ε)ιρὸς ἀνθρώπων παθεῖν; Μάθετε·[74] οἱ προφῆται ἀπ' αὐτοῦ ἔχοντες τὴν χάριν, εἰς αὐτὸν ἐπροφήτευσαν· αὐτὸς δὲ, ἵνα[75] καταργήσῃ τὸν θάνατον, ϗ τὴν ἐκ νεκρῶν ἀνάστασιν δείξῃ,[76] ὅτι ἐν σαρκὶ ἔδει αὐτὸν φανερωθῆναι, ὑπέμ(ε)ινεν, ἵνα ϗ τοῖς πατράσιν τὴν ἐπαγγελίαν ἀποδῷ, ϗ αὐτὸς ἑαυτῷ[77] τὸν λαὸν τὸν κενὸν[78] ὀνομάζων ἐπιδείξῃ ἐπὶ τῆς γῆς ὢν, ὅτι τὴν ἀνάστασιν αὐτὸς ποιήσας κριν(ε)ῖ. Πέρας γέ τοι[79] διδά-

---

ἀντωνυμία, ' ὑμῶν. 72 Γ. ' παρεληλυθότα. 73 Γ. ' ἀπολῖται. 74 Γ. ' μάθεται. 75 Γ. ' εἶνα. 76 Γασπ. ' καταδείξει. 77 Τὰ μετὰ τὴν ἀντωνυμίαν εἰσίν, ὦ φίλτατε, γνωστὰ πάντα. 78 Ἀν. ϗ Ἰβ. Κα, ' καινὸν, τὰ δ' ἄλλα τῶν χειρογράφων ' κενόν. 79 Λαύρ. ' μέν τοι ' Ἰβήρων χειρ. ' μέν τοι γε διδάσκων τὸν Ἰσρ..

σκων τὸν Ἰσραὴλ, ϗ τηλικαῦτα τέρατα ϗ σήμ(ε)ῖα ποιῶν, ἐκήρυσσεν,[80] ϗ ὑπερηγάπησαν αὐτόν. Ὅτι δὲ τοὺς ἰδίες Ἀποςόλες, τοὺς μέλλοντας κηρύσσ(ε)ιν τὸ Εὐαγγέλιον αὐτοῦ,[81] ἐξελέξατο, ὄντας ὑπὲρ πᾶσαν ἁμαρτίαν ἀνομω. τέρους[82] (ἵνα δείξῃ ὅτι οὐκ ἦλθεν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς[83]) τότε [ἐφανέρω]σεν[84] ἑαυτὸν (εἶναι υἱὸν Θεοῦ. Εἰ γὰρ μὴ ἦλθεν ἐν σαρκὶ ἄν, πῶς αἱ ἄνθρωποι[85] ἐσώθησαν, βλέποντες αὐτόν; ὅτι[86] τὸν μέλλοντα μὴ εἶναι ἥλιον, ἔργον τῶν χ(ε)ιρῶν αὐτοῦ[87] ὑπάρχοντα, ἐμβλέποντες οὐκ ἰσχύουσιν εἰς τὰς ἀκτῖνας αὐτοῦ ἀντοφθαλμῆσαι.[88] Οὐκοῦν ὁ υἱὸς τοῦ Θεοῦ[89] ἐν σαρκὶ ἦλθεν, ἵνα

---

80 Καρ. 'ἐκήρυξε τὴν ἀλήθειαν.' Ἰβήρ. 'ἐκήρυττε τ. ἀλ. ϗ ὑπερηγάπησαν αὐτὸν τὰ πλήθη.' Παπίε, 'ϗ ὑπερηγάπησεν αὐτὸν ὁ λαός.' 81 Καρ. 'τοῦ Κυρίε αὐτῶν ϗ ἡμῶν πάντων.' 82 Καρ. 'ἀνωτέρους.' 83 'Ανικ. 'ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.' 34 Γασπάριως χ. τὴν Σ Ε Ν μόνον κατάληξιν τοῦ ῥήματος 'ἐφανέρωσεν' σώζει· τὸ δὲ τοῦ 'Ονησίμου ἀντὶ τοῦ 'ἐφανέρωσεν', ὥς περ πάντα τὰ λοιπὰ, 'ἀ π ε κ ά λ υ ψ ε ν ἑαυτὸν εἶναι υἱὸν τ ο ῦ Θεοῦ ἔχει. 85 Ἰβ. 'οὐδ' ἂν πῶς οἱ ἄνθρωποι' 'Ον. 'πῶς ἂν τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ, ὁ ἄνθρωπος ἐσώθησαν.' 86 Ἰβ. 'Ὅτι. — ἰσχύομεν.' 87 'Ανικ. 'τῶν αὐτοῦ χειρῶν.' 88 Καρακαλινὸν χειρόγραφον, 'οὐκ ἰσχύουσιν εἰς τὰς ἀκτῖνας αὐτοῦ ἀντοφθαλμῆσαι, ἀλλ' ἀποστρέφουσι τὸ

τὸ τέλ(ε)ιον τῶν ἁμαρτιῶν ἀνακεφαλαιώσῃ[90] τοῖς διώξασιν[91] ἐν θανάτῳ τοὺς προφήτας αὐτῶν.[92] Οὐκοῦν εἰς τοῦτο ὑπέμ(ε)ινεν. Λέγει ὁ θεὸς[93] τὴν πληγὴν τῆς σαρκὸς αὐτοῦ,[94] ἐξ αὐτῶν,[95] ὅταν πατάξωσιν[96] τὸν ποιμένα ἑαυτῶν, τότε ἀπολίπεται τὰ πρόβατα τῆς ποίμνης.[97] Αὐτὸς δὲ ἠθέλησεν οὕτω παθεῖν· ἔδει γὰρ ἵνα ἐπὶ ξύλου πάθῃ Λέγει γὰρ ὁ προφητεύων ἐπ αὐτῷ φεῖσαί μου τῆς ψυχῆς ἀπὸ ῥομφαίας, ϗ[98] καθήλωσόν μου τὰς σάρκας, ὅτι συναγωγὴ πονηρευομένων[99] ἐπανίστησάν μοι. Καὶ πάλιν λέγει· ἰδοὺ τέθεικά μου τὸν νῶτον[100] εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου[101] εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου

πρόσωπον αὐτῶν ἀπ' αὐτῶν'. Λαύρ. 'ἀπ' αὐτοῦ' 89 Λ. 'ὁ υἱὸς τοῦ ἀνθρώπȣ.' 90 'Iϐ. 'κεφαλαιώσῃ τοῖς διώξȣσιν.' 91 Παπ. 'τοῖς καταδιώξασιν.' 92 'Iϐ. 'τοὺς ἐν μέσῳ αὐτῶν ἐγερθέντας προφήτας τοῦ Κυρίȣ. Λαυρ. τοὺς ἐγερθ· προφήτας τοῦ λαοῦ αὐτοῦ. Μαυρ. ' τοὺς προφήτ. αὐτοῦ. 93 Μαυρ. 'Λέγει γὰρ ὁ Θεός. 94 Καρ. τῆς σαρκὸς αὐτοῦ τῆς ἱερᾶς. 95 Μαυρ. ' ὅτι ἐκ τῶν αὐτῶν 96 Κ. 'πατάξω. Μ. 'ὅταν δέ, φησιν ἕτερος τῶν ἑαυτῶν προφητῶν, πατάξωσι τὸν ποιμένα ἑαυτῶν. 97 Λ. ' τότε σκορπισθήσεται ϗ ἀπολεῖται. Iϐ. ' τότε δὴ τότε διασκορπισθήσονται τὰ πρ. Καρ. 'διασκεδασθήσεται. 98 Iϐ. ἄνευ τοῦ 'ϗ.' 99 Λαύρ· ' πεπονηρευμένων συναγωγή. 100 Καρ. ' τὰ νῶτα. 101 Γασπ. 'σιαγόνας μου. Λαύρας, ' τὴν δὲ σιαγόνα μου

ἔθηκα ὡς στεριὰν πέτραν. "Ὅτι οὖν ἐποίησεν ἐντολὴν[102]· τί λέγει; ‘Τίς[103] ὁ κρινόμενός μοι; Ἀντιστήτω μοι. Ἢ τίς ὁ δικαιούμενός μοι;[104] Ἐγγισάτω[105] τῷ παιδὶ Κυρίου. Οὐαὶ ὑμῖν· ὅτι ὑμ(ε)ῖς πάντες ὡς ἱμάτιον παλαιωθήσεσθε[106] ἢ σὴς καταφάγεται ὑμᾶς.’ Καὶ πάλιν λέγει ὁ προφήτης· ‘ἐπ(ε)ὶ ὡς λίθος ἰσχυρὸς ἐτέθη εἰς[107] συντριβήν· ἰδοὺ ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ,[108] ἐκλεκτὸν, ἀκρογωνιαῖον,[109] ἔντιμον.’ Εἶτα τί λέγει; ‘Καὶ ὁ πιστεύων εἰς αὐτὸν,[110] ζήσεται εἰς τὸν αἰῶνα.’ Ἐπὶ λίθον[111] οὖν ἡμῶν ἡ ἐλπίς; Μὴ γένοιτο· ἀλλὰ ἐπ(ε)ὶ ἐν ἰσχύ(ε)ι τέθηκε τὴν σάρκα αὐτοῦ ὁ Κύριος.[112] Λέγει γὰρ

εἰς ῥάπισμα. 102 Καρ. ‘τὰς ἐντολὰς τί λέγει; 103 Λ. ‘τίς, φησιν ὁ προφήτης, ὁ κρ.’ Καρ. ‘τίς, φησι διὰ τοῦ προφήτου, ὁ κρ.’ 104 Ἰβ. ‘τίς ἐστιν ὁ κρινόμενός μοι; ἢ ἐστιν ὁ δικαζόμενός μοι; ἀντιταξάτω μοι ὁ οὗτος, ἢ ἐγγισάτω τῷ π. Κυρ.’ 105 Γ. ‘ἐγγισάτω.’ 106 Γ. ‘παλαιωθήσεσθαι’ 107 Λ. ‘πρὸς συντριβήν.’ 108 Γ. ‘πολυτελῆν.’ 109 Γ. ‘ἀκρογωνιαῖον’ 110 Κα. Ο. Π. Λ. ‘ἢ ὁ πιστεύων (Μαυρ. ἢ ὁ πιστεύσων) εἰς αὐτὸν, οὐ μὴ καταισχυνθῇ, ἀλλὰ ζήσεται εἰς τὸν αἰῶνα.’ 111 Ἰ. ‘ἐπὶ λίθον.’ Λ. Κ. Π. ‘ἐπὶ λίθον οὖν ἡμῶν ἡ ἐλπὶς τῆς σωτηρίας’; Μ. ‘ἐν λίθῳ ἄρα κεῖται ἡ ἐλπὶς τῆς σωτηρίας ἡμῶν’;

112 Οὕτω πάντα τὰ χειρόγ. τὸ δὲ τοῦ Γασπάρεως ἐφ' ἰ-

ϗ ἔθηκέν με[113] ὡς στερεὰν πέτραν.' Λέγει δὲ πάλιν ὁ προφήτης· 'λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγεννήθη εἰς κεφαλὴν γωνίας.' Καὶ πάλιν λέγει· 'αὕτη ἐστὶν ἡ ἡμέρα ἡ μεγάλη καὶ θαυμαστή, ἣν ἐποίησεν ὁ Κύριος.' Ἁπλούστερον ὑμῖν γράφω, ἵνα συνιῆτε· ἐγὼ περίψημα τῆς ἀγάπης ὑμῶν. Τί οὖν λέγει πάλιν ὁ προφήτης; 'Περιέσχεν με συναγωγὴ πονηρευομένων, ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, ϗ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.' Ἐν σαρκὶ οὖν αὐτοῦ μέλλοντος φανεροῦσθαι ϗ πάσχειν, προεφανερώθη[114] τὸ πάθος. Λέγει γὰρ ὁ προφήτης ἐπὶ τὸν Ἰσραήλ· 'Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· 'δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν.' Τί λέγει ὁ ἄλλος προφήτης Μωσῆς αὐτοῖς;[115] 'Ἰδοὺ τάδε λέγει Κύριος ὁ Θεός·[116] εἰσέλθετε[117] εἰς τὴν γῆν τὴν ἀγαθήν,

---

χει· 'ἀλλὰ εἶπεν ἐν ἰσχύϊ τέθεικεν τὴν σάρκαν αὐτοῦ ὁ Κύριος.' 113 Λ. 'ἔθηκάν με.' 114 Καρ. 'συνεμαρτυροῦτο ϗ τὸ πάθος.' Ἰϐ. 'συνεδηλοῦτο.' Λ. 'προσεφανερώθη αὐτῷ ϗ τὸ πάθος.' 115 Κ. 'Λέγει δὲ αὐτοῖς ϗ Μωσῆς, ὁ προφήτης αὐτός·' Π. 'Λέγει δὲ αὐτοῖς ϗ ἕτερος προφήτης, ὁ Μωσῆς αὐτός.' Γ. 'αὐτός.' 116 Ὀνησ- 'Ἰδοὺ — ὁ Θεὸς τοῖς πατράσιν ἡμῶν. Π. τοῖς π. ὑμῶν τῷ Ἀβραάμ, ϗ τῷ Ἰσαάκ, ϗ τῷ Ἰακώϐ.' 117 Γ. ϗ Λ. 'εἰσέλθατε.

ἣν ὤμωσεν Κύριος τῷ Ἀβραὰμ ϗ Ἰσ(α)ὰκ ϗ Ἰακὼϐ, ϗ κατακληρονομησάτω[118] τὴν γῆν, ῥέουσαν γάλα ϗ μέλι. Τί δὲ λέγει ἡ γνῶσις; μάθετε,' Ἐλπίσατε[119] ἐπὶ τὸν ἐν σαρκὶ μέλλοντα φανεροῦσθαι ὑμῖν Ἰησοῦν.' Ἄνθρωπος γὰρ γῆ ἐστιν πάσχουσα· ἀπὸ προσώπου γὰρ τῆς γῆς ἡ πλάσις τοῦ Ἀδὰμ ἐγένετο. Τί οὖν λέγει· 'εἰς τὴν γῆν τὴν ἀγαθὴν, γῆν[120] ῥέουσαν γάλα ϗ μέλι;' Εὐλογητὸς ὁ Κύριος ἡμῶν, ἀδελφοί, ὁ σοφίαν ϗ νοῦν θέμενος ἐν ἡμῖν τῶν κρυφίων αὐτοῦ. Λέγει γὰρ ὁ προφήτης· 'παραβολὴν Κυρίου τίς νοήσει, εἰμὴ σοφὸς ϗ ἐπιστήμων ϗ ἀγαπῶν τὸν Κύριον αὐτοῦ'·[121] Ἐπ(ε)ὶ οὖν ἀνακαινήσας ἡμᾶς[122] ἐν τῇ ἀφέσει τῶν ἁμαρτιῶν, ἐποίησεν ἡμᾶς ἄλλον τύπον ὡς[123] παιδίων ἔχειν τὴν ψυχὴν, ὡς ἂν δὴ ἀναπλάσσοντος[124] αὐτοῦ ἡμᾶς. Λέγει γὰρ ἡ Γραφὴ περὶ ἡμῶν, ὡς λέγει τῷ Υἱῷ· 'ποιήσωμεν κατ' εἰκόνα[125] ϗ καθ' ὁμοίωσιν ἡμῶν

---

118 Ὀνησίμη χειρ. 'ϗ κατακληρονομήσατε αὐτήν. Ἱεϐ. 'ϗ κατακληρονομήσατε ὑμεῖς τε ϗ τὸ σπέρμα ὑμῶν τὴν γῆν τὴν ἀγαθὴν τὴν ῥέουσαν γάλα ϗ μέλι.'
119 Γ. 'ἐλπίσαται.' Λ. 'ἐλπίσατε, φησιν, ἐπὶ τ.' 120 Γ. 'γῆν. Λ. 'εἰς τὴν γῆν τὴν ἀγαθὴν τὴν ῥέουσ.' 121 Κ. 'ὁ σοφὸς ϗ ὁ ἐπιστήμων ϗ ὁ ἀγαπῶν. τὸν Κύρ. αὐτοῦ; 122 Γ. 'ἐκαίνησεν ἡμᾶς. Λ. 'ἀνακαινήσας ἡμᾶς ὁ Θεός' 123 Κ. ὥσπερ παιδίων ἔχειν τὴν ψυχὴν ἡμῶν. ' 124 Ἱϐ. 'ὡς ἂν δὴ ἀναπλασσομένης ὑπ' αὐτοῦ ἡμᾶς, ϗ πάλιν.'

τὸν ἄνθρωπον, ἐ͵ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς, ἐ͵ τῶν πετεινῶν τοῦ οὐρανοῦ, ἐ͵ τῶν ἰχθύων τῆς θαλάσσης.' Καὶ εἶπεν Κύριος ἰδὼν τὸ καλὸν πλάσμα ἡμῶν.[126] ' αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε* τὴν γῆν.' Ταῦτα πρὸς τὸν Υἱόν. Πάλιν σοι ἐπιδείξω, πῶς πρὸς ἡμᾶς λέγει Κύριος δευτέραν πλάσιν ἐπ' ἐσχάτων ἐποίησεν. Λέγει δὲ Κύριος· ' Ἰδοὺ ποιῶ τὰ ἔσχατα ὡς τὰ πρῶτα.' Εἰς τοῦτο οὖν ἐκήρυξεν ὁ προφήτης· ' εἰσέλθετε[127] εἰς τὴν γῆν τὴν ῥέουσαν[128] γάλα ἐ͵ μέλι, ἐ͵ κατακυριεύσατε αὐτῆς.' Ἴδε οὖν ἡμ(ε)ῖς ἀναπεπλάσμεθα, καθὼς πάλιν ἐν ἑτέρῳ προφήτῃ λέγει· ' Ἰδοὺ, λέγει Κύριος, ἐξελῶ τούτων, τουτέστιν, ὧν προέβλεπεν τὸ Πνεῦμα τοῦ Κυρίου, τὰς λιθίνας καρδίας, καὶ ἐμβαλῶ σαρκίνας·' ὅτι αὐτὸς ἐν σαρκὶ ἔμελλεν φανεροῦσθαι[129] καὶ ἐν ἡμῖν κατοικεῖν. Ναὸς γὰρ ἅγιος, ἀδελφοί μου, τῷ Κυρίῳ τὸ κατοικητήριον ἡμῶν τῆς καρδίας. Λέγει γὰρ Κύριος πάλιν· ' Καὶ ἐν τίνι ὀφθήσομαι[130] τῷ Κυρίῳ, τῷ Θεῷ μου, ἐ͵ δοξασθήσομαι;' Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ ἀδελφῶν μου, καὶ ψαλῶ σοι[131] ἀναμέσον ἐκκλησίας ἁγίων'. Οὐκοῦν ἡμεῖς ἐσμὲν,

---

125 Γ. ' καθ' εἰκόνα ' 126 Κ. ' ἡμῶν τὸν ἄνθρωπον ' * Γ. π-ται 127 Γ. ' εἰσέλθατε. 128 Οὕτως ἔχει ἐν πάσαις ταῖς χειρ. ἐν δὲ τῷ τοῦ Γασπ. ἄνευ τῆς προθέσεως THN. 129 ' Ὅτι αὐτὸς ἔμελλεν φανεροῦσθαι ἡμῖν ἐν σαρκὶ ἐ͵. 130 Γ. ' ὀφθήσομε. 131 Λ. ' δοξολογήσω σε. 132 Γ. ' πεδίον. 133

οὓς εἰσήγαγεν εἰς τὴν γῆν τὴν ἀγαθήν. Τί οὖν τὸ γάλα ϗ τὸ μέλι; Ὅτι πρῶτον τὸ παιδίον[132] μέλιτι, εἶτα γάλακτι ζωοποιεῖται. Οὕτως[133] οὖν ϗ ἡμ(ε)ῖς τῇ πίστ(ε)ι τῆς ἐπαγγελίας ϗ τῷ λόγῳ ζωοποιούμενοι ζήσομεν κατακυριεύοντες τῆς γῆς. Προειρήκαμεν δὲ ἐπάνω, ϗ αὐξανέσθωσαν. ϗ πληθυνέσθωσαν, ϗ ἀρχέτωσαν τῶν ἰχθύων. Τίς[134] οὖν ὁ δυνάμενος ἄρχ(ε)ιν θηρίων, ἢ ἰχθύων, ἢ πετ(ε)ινῶν τοῦ οὐρανοῦ; Αἰσθάνεσθε[135] γὰρ ὀφ(ε)ίλομεν. Τὸ[136] ἄρχειν ἐξουσίας ἐστίν,[137] ἵνα τις ἐπιτάξας κυριεύσῃ.[138] Εἰ οὖν οὐ γίνεται[139] τοῦτο νῦν, ἄρα ἡμῖν εἴρηκεν. Πότε; Ὅταν ϗ αὐτοὶ τελ(ε)ιωθῶμεν κληρονόμοι τῆς δια-

---

[1] ἐντελῶς ζωοποιεῖται. Ἐν ταύτῃ οὖν τῇ πίστει τῆς ἐπαγγελίας ἐμμένοντες, ϗ τὴν ἐντεταλμένην ἡμῖν ποιοῦντες οὕτω, ζωοποιηθησόμεθα τῇ τε πίστει ϗ τῷ λόγῳ, ϗ ζήσομεν κατακυριεύοντες τῆς γῆς. Οὕτω (φησὶν ὁ τοῦ Καρακαλινοῦ ἀπογράφη ἀπογραφεὺς ἐν σημειώσει) ἀνέγνω τὸ χωρίον τοῦτο ἐν ἀπογράφῳ τινὶ Ἐλευθερίῃ ἡγεμένῃ τῆς μονῆς τοῦ Ἐσφαγμένῃ ἢ Ἐσφιγμένῃ κατ' ἄλλης. 134 Κ. ' Τίς οὖν δυνηθήσεται ἄρξαι τῶν θηρίων, ϗ τῶν ἰχθύων ϗ τῶν πετεινῶν τοῦ οὐρανοῦ. Λ. ' Τίς ἐστιν οὖν. 135 Γ. ' αἰσθάνεσθαι. 136 Κ. ' ἐξουσίας ἐστὶν ἐκτελεστικόν. Λ ' ἐκτελεστικὴ δύναμις. 137 Γ. ' κυριεύσει. 138 Π. 'Ἐὰν οὖν οὐ μὴ γ. Κ. ' Εἰ οὖν τοῦτο οὐ μὴ γίνεται νῦν, ἄρα' 139 Γ. ' γείνεται.

θήκης Κυρίου γενέσθαι. Οὐκοῦν νοεῖται, τέκνα [140] εὐφροσύνης. ὅτι πάντα ὁ καλὸς Κύριος [141] προεφανέρωσεν ἡμῖν, ἵνα γνῶμεν, ᾧ κατὰ πάντα εὐχαριστοῦντες ὀφ(ε)ίλομεν αἰν(ε)ῖν [142] Εἰ οὖν ὁ υἱὸς τοῦ Θεοῦ, ὢν [143] Κύριος, (προεφανέρωσεν, ἵνα γνῶμεν, ᾧ κατὰ πάντα εὐχαριστοῦντες) ὁ μέλλων κρίνειν ζῶντας ϗ νεκρούς, ἔπαθεν, ἵνα ἡ πληγὴ [144] αὐτοῦ ζωοποιήσῃ ἡμᾶς· πιστεύσωμεν ὅτι ὁ υἱὸς τοῦ Θεοῦ οὐκ ἠδύνατο παθεῖν, εἰμὴ δι' ἡμᾶς. Ἀλλὰ ϗ σταυρωθ(ε)ὶς ἐποτίζετο ὄξει ϗ ὀλῇ [145] Ἀκούσατε, περὶ τούτου πεφανέρωκαν οἱ ἱερ(ε)ῖς τοῦ ναοῦ. Γεγραμμένης ἐντολῆς. ὃς ἂν μὴ νηστεύσῃ τὴν νηστ(ε)ίαν, ἐξολοθρευθήσεται ἐνετ(ε)ίλατο Κύριος αὐτός, [146] ἐπ(ε)ὶ ϗ αὐτὸς ἐπὶ [147]

---

140 Καρακαλινὸν ϗ Λαυρ: χ. ' ὦ τέκνα τοῦ Θεοῦ τῆς εὐφροσύνης. 141 ' Κύριος ἡμῶν. 142 ' ϗ δοξάζειν. 143 Μ. ϗ Δ. ' ὁ ὢν Κύριος πάντων (προεφανέρωσεν ἡμῖν πάντα ταῦτα καλῶς ϗ πολλαχῶς ϗ πολυτρόπως, ᾧ ϗ δεῖ πάντας ἡμᾶς εὐχαριστεῖν κατὰ πάντα) ϗ μέλλων κρίνειν. 144 Κ. Ι. Δ. Ο. ' ἵνα ἡ πηγὴ τῆς ἁμαρτίας ἡμῶν ξηρανθῇ τῇ πληγῇ τῆς σαρκὸς αὐτοῦ ϗ ζωοποιήσῃ (Γ. ζ-σι) ἡμᾶς.' 145 χολ ἡ πάντα τὰ ἀπόγραφα. 146 Π. Ι. Ο. Μ. ' Ἀκούσατε οὖν, τέκνα ἀγαπητὰ ἐν Κυρίῳ, πῶς περὶ τούτε (Μ. ' ϗ περὶ τούτε) πεφανέρωκαν (Κ. δεδήλωκαν. Ο. δεδηλώκασι. Ι. πεφανερώκασιν) οἱ ἱερεῖς Κυρίε τῷ λαῷ αὐτοῦ Κ. αὐτῶν) πρότερον φωνῇ βοησάσῃ, ϗ εἶτα γραφείσῃ ἐν-

τῶν ἡμετέρων ἁμαρτιῶν [148] ἔμελλεν τὸ σκεῦος τοῦ πνεύματος προσφέρ(ε)ιν θυσίαν· ἵνα ϗ οὗτος [149] ὁ γενόμενος ἐπὶ Ἰσ(α)ὰκ, τοῦ προσενεχθέντος ἐπὶ τὸ θυσίαν τελεσθῇναι. [150] Τί οὖν λέγει ἐν τῷ προφήτῃ, 'ϗ φαγέτωσαν ἐκ τοῦ τράγου, τοῦ προσφερομένου τῇ νηστ(ε)ίᾳ ὑπὲρ πασῶν τῶν ἁμαρτιῶν.' Προσέχετε [151] ἀκριβῶς· 'ϗ φαγέτωσαν οἱ ἱερεῖς μόνοι πάντες τὸ ἔντερον ἄπλυτον μετὰ ὄξους.' Πρὸς τί; Ἐπ(ε)ι(δὴ) ἐμὲ [152] ὑπὲρ ἁμαρτιῶν μέλλοντα τοῦ

τολῆς (l. ἐντολῇ) αὐτοῦ 'ὃς ἂν μὴ ταπεινωθήσεται ἐν τῇ ἡμέρᾳ ταύτῃ συντριβῇ καρδίας, ϗ νηστεύσῃ τὴν νηστείαν ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ θανάτῳ αἰωνίῳ ἐνετείλατο Κύριος διὰ τοῦ θεράποντος αὐτοῦ.' 147 ΠΤΧ ὑ π έ ρ. 148 Π. 'ἀνομιμάτων. 149 Κ. 'ἵνα ϗ οὕτως Π. Δ. 'ἵνα ϗ ὁ ἐπὶ Ἰσαὰκ γενόμενος τύπος τοῦ προσενεχθέντος ἐπὶ τὸ θυσιαστήριον τελεσθῇ οὕτω.' 150 Ο. τελεσθῇ. 151 Γ. 'προσέχεται. 152 Ἐνταῦθα σημειοῦται ἐν τῷ περιατελίῳ τοῦ τοῦ Γασπάρεως χειρογράφῳ ὑπό τινος Νικοδήμη Καρακαλινοῦ (οὗ τὸ ὄνομα ἐσημείωσα κἀγὼ διὰ τοῦ πρώτου γράμματος, τοῦ Ν) ὡς οὐκ ἔρρωται τὸ χωρίον τοῦτο. Ὅθεν δεῖ γραφῆναι ὡς τὰ τούτῳ παλαίτερα τῶν ἀπογράφων ἔχει, οἷον· 'ἐπειδὴ ἐμὲ δεῖ, εἶπεν, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου τοῦ καινοῦ προσφέρειν τὴν σάρκα μου, μέλλετε ποτίζειν χολὴν μετὰ ὄξους· φάγετε (Γ. φάγεται) ὑμεῖς μόνοι. Οὕτω δὲ ϗ πάντα τὰ λοιπὰ

λαοῦ μου τοῦ κενοῦ προσφ(έ)ρειν τὴν σάρκα μου, μέλλοντα ποτίζειν χολὴν μετὰ ὄξους· φάγετε ὑμ(ε)ῖς μόνοι, τοῦ λαοῦ νηστεύοντος ϗ κοπτομένου ἐπὶ σάκκου καὶ σποδοῦ.[153] ἵνα δ(ε)ίξῃ ὅτι δ(ε)ῖ αὐτὸν πολλὰ παθεῖν ὑπ' αὐτῶν,[154] ἃ ἐνετ(ε)ίλατο.[155]. Προσέχετε.[156] ' Λάβετε δύο τράγους[157] καλοὺς ϗ ὁμοίους, ϗ προσενέγκατε·[158] ϗ λαβέτω ὁ ἱερεὺς τὸν ἕναν εἰς ὁλοκαύτωμα, τὸν ἕνα ὑπὲρ ἁμαρτιῶν.' Τὸν δὲ ἕναν τί ποιήσωσιν;[160] ἐπικατάρατος φησιν, ὁ εἷς.'

τῶν χειρ. ἔχει. 153 Κ. Ι. ' ἐν σάκκῳ ϗ σποδῷ. 154 ΠτΧ ' ἵνα δείξῃ ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν ὑπ' αὐτῶν (Θνη. ὑπ' ἐκείνων) ὑπὲρ αὐτῶν.' 155 Λ. ' ἅπερ ϗ αὐτὸς ἐνετείλατο ἡμῖν.' Κ. ' ἅπερ δὴ ϗ οὕτως ἡμῖν ἐνετείλατο.' 'Ιε' ' πῶς δὲ ἡμῖν ἐνετείλατο; 'Ακούσατε.' Μ. ' πῶς οὖν ταῦτα ἡμῖν ἐνετείλατο; Προσέχετε.' 156 Γ. ' προσέχεται.' 157 ΠτΧ. ' χιμάρους. 158 ' προσενέγκαται. 159 Γ. ' ἕναν. 160 Τὸ χωρίον τοῦτο οὐκ ἔῤῥωται ἐνταῦθα· ἔχει δὲ ἄλλως ἐν τοῖς ἑτέροις ἓξ ἀπογράφοις. ὡς ἑξῆς. ' Λάβετε δύω χιμάρους ἐξ αἰγῶν περὶ ἁμαρτίας, ϗ κριὸν ἕνα εἰς ὁλοκαύτωμα. ϗ στήσατε αὐτοὺς ἔναντι Κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. ϗ βαλέτω κλήρους ἐπὶ τοὺς χιμάρους ὁ ἱερεύς. τὸν ἕνα τῶν χιμάρων εἰς ὁλοκαύτωμα περὶ ἁμαρτιῶν, τὸν χίμαρον ἐφ' ὃν ἐπῆλθεν (Κ. ἐπ' αὐτὸν) ὁ κλῆρος τῷ Κυρίῳ. Τὸν δὲ ἐφ' ὃν ἐπῆλθεν ὁ κλῆρος τοῦ ἀποπομπαίου τί ποιήσουσιν;' 161 ΠτΧ. 'Ιησοῦ τοῦ

Προσέχετε, πῶς ὁ τύπος τοῦ Θεοῦ [161] φανεροῦται. ' Καὶ ἐμπτύσατε πάντες, ꝁ κατακεντήσατε, ꝁ περιθε(ῖ)τε [162] τὸ ἔριον τὸ κόκκινον περὶ τὴν κεφαλὴν αὐτοῦ· ꝁ οὕτως εἰς ἔρημον βληθήτω.' Καὶ ὅταν γένηται οὕτως, ἄγει ὁ βαστάζων τὸν τράγον [163] εἰς τὴν ἔρημον, [καὶ] ἀφαιρεῖ τὸ ἔριον, ꝁ ἐπιτίθησιν [164] αὐτὸ ἐπὶ φρύγανον τὸ γενόμενον ῥαχήλ,[165] οὗ ꝁ τοὺς βλαστοὺς [166] εἰώθαμεν τρώγειν ἐν τῇ χώρᾳ εὑρίσκοντες. Οὕτω μόνης τῆς ῥαχοῦς οἱ καρποὶ γλυκεῖς εἰσιν.[167] Τί οὖν καὶ τοῦτό ἐστιν;[168] Προσέχετε· τὸν μὲν ἕνα ἐπὶ τὸ θυσιαστήριον, τὸν δὲ ἕνα ἐπικατάρατον, ꝁ ὅτι τὸν ἐστεφανωμένον ἐπικατάρατον. Ἐπ(ε)ιδὴ [169] ὄψονται αὐτὸν τότε τῇ ἡμέρᾳ, τὸν ποδήρη ἔχοντα τὸν κόκκινον περὶ τὴν σάρκα, ꝁ ἐροῦσιν· οὐχ' αὐτός ἐστιν, ὅν ποτε ἡμ(ε)ῖς ἐσταυρώσαμεν, ꝁ ἐξουθενήσαμεν ἐμπτύσαν-

---

Κυρίῳ ἡμῶν. 162 'Εν τῷ τοῦ Γασπ. χειρ. πολλαχοῦ αἱ καταλήξεις τοῦ δευτέρυ προσώπυ τῶν πληθυντικῶν ῥημάτων διὰ τῆς ΑΙ διφθόγγυ (ἀντὶ τοῦ Ε) γράφεται, ὥσπερ ꝁ ἐνταῦθα. ' ἐμπτύσαται. κατακεντήσαται, περιθε(ῖ)ται.' 163 ' Χίμαρον' ἐν Π. τοῖς Χ. 164 Γ. ' φέρε τὸ ἔριον ꝁ ἐπιτιθήσιον αὐτό.' 165 Π τ Χ. ' Τὸ λεγόμενον ῥ α χ ι ἐ λ φυόμενον (Κ γενόμενον) δὲ ἐν 'Ραχὲλ χώρᾳ.' 166 Π τ Χ. ' καρπούς 167 Π τ Χ. ' ὅτι ꝁ μόνον οἱ καρποὶ τῆς ῥαχιὲλ γλυκεῖς εἰσιν. 168 Ι6. Κ. ' Τί δὲ ꝁ τοῦτο σημαίνει; Π. ' Τί δὲ τοῦτό ἐστι; 169 Π. ' ἐπὰν δὲ.' Λ-

τις;[170] Ἀληθῶς οὗτος ἦν, ὁ τότε λέγων ἑαυτὸν υἱὸν Θεοῦ εἶναι. Πῶς γὰρ ὅμοιος ἐκείνῳ εἰς τοῦτο, ὁμοίους τοὺς τράγȣς καλοὺς ἴσȣς;[171] Ἵνα ὅταν ἴδωσιν αὐτὸν τότε ἐρχόμενον ἐκπλαγῶσιν ἐπὶ τῇ ὁμοιότητι τοῦ τράγȣ.[172] Οὐκοῦν εἶδε[173] τὸν τράγον, τὸν τύπον τοῦ μέλλοντος πάσχειν Ἰησοῦ. Τί δὲ, ὅτι τὸ ἔριον μέσον τῶν ἀκανθῶν

'ἐπεὶ δὲ.' 170 Γ. ἄνευ τοῦ ΚΑΙ συνδέσμȣ. ἐπέγραψα δ' αὐτὸν ἐγὼ ὕστερον, (ἐν τῷ ὑπὲρ τοῦ Λύτ. Ν. ἀπ.) ἐκ τῶν ἑτέρων χ. μαθὼν τοῦτο· οὐχὶ δὲ καὶ τὰ λοιπὰ τοῦ χωρίȣ ὅτι ἔδει μεταγραφῆναι, καθὰ προέφην, τὸ ὅλον τῶν βιβλίων. Ἔχει δὲ τοῦτο ἐν τοῖς λοιποῖς ἑξ ὧδε:- 'Οὐχ οὗτός ἐστιν ὁ Ἰησοῦς ὁ υἱὸς τῆς Μαρίας ϗ τοῦ τέκτονος Ἰωσὴφ, ὃν ποτε ἡμεῖς ἐσταυρώσαμεν κατεξȣθενήσαντες, ϗ λόγχῃ κατακεντήσαντες, ϗ πολλαχῶς ἐμπέξαντες;' 171 Π. Λ. 'ὁμοιότατος γὰρ ἐκείνȣ ἐστί. Πῶς δὲ ὁμοίως ϗ τῷ χιμάρῳ ἔχειν αὐτόν; Καὶ τί τοῦτο; Πῶς δὲ ϗ τοὺς χιμάρȣς τούτȣς καλοὺς ϗ ἴσȣς, ϗ ὁμοίȣς ἐκείνοις;' Ι. Μ. Ο. Κ. 'ὁμοιότατος γὰρ ἐκείνȣ ἐςίν. πῶς δὲ ὁμοίως ϗ ὁ χίμαρος οὗτος ἔχει τῷ χιμάρῳ τῷ ἀποπεμπταίῳ ἐκείνῳ; ϗ τί τοῦτο; πῶς δὲ ϗ τὸν ἕτερον τὸν εἰς ὁλοκαύτωμα τῷ Κυρίῳ προσφερόμενον ὑπὲρ ἁμαρτιῶν ὅμοιον ἐκείνȣ ὁρῶμεν, ϗ ἀμφοτέρȣς καλοὺς ϗ ἴσȣς;' 172 Λ. Ι. 'ἐκπλαγήσονται ἐπὶ τῇ ὁμοιότητι τῶν χιμάρων.' Κ. Π. Μ. 'ἐκπλαγήσονται οὗτοι ἐπί.' 173 Π τ Χ. 'ἴδετε τὸν χίμαρον.'

τιθέασιν;[174] Τύπος[175] ἐστὶν τοῦ Ἰησοῦ τῇ ἐκκλησίᾳ θέμενος, ὅτι[176] ὡς ἐὰν θέλῃ τὸ ἔριον ἆραι τὸ κόκκινον, ἔδει αὐτὸν πολλὰ παθ(ε)ῖν διὰ τὸ εἶναι φοβερὰν τὴν ἄκανθαν, κ̀ θλιβέντα κυριεῦσαι[177] αὐτοῦ. Οὕτω, φησίν, οἱ θέλοντές με ἰδ(ε)ῖν, κ̀ ἅψεσθαί μου τῆς βασιλ(ε)ίας, ὀφ(ε)ίλουσιν θλιβέντες[178] κ̀ παθόντες λαβ(ε)ῖν με. Τίνα δὲ δοκεῖτε[179] τύπον εἶναι ὅτι ἐντέταλται[180] τῷ Ἰσραὴλ προσφέρ(ε)ιν δάμαλιν τοὺς ἄνδρας, ἐν οἷς εἰσιν ἁμαρτίαι τέλ(ε)ιαι, κ̀ σφάξαντας κατακαίειν· κ̀ αἴρ(ε)ιν[181] τότε τὰ παιδία σποδὸν κ̀ βαλ(ε)ῖν εἰς ἄγγη,[182] κ̀ περιτεθῆναι τὸ ἔριον τὸ κόκκινον.[183] Ἴδε[184] πάλιν ὁ τύπος ὁ τοῦ σταυροῦ. Καὶ

---

174 Λ. ʻἐν μέσῳ τῶν ἀκανθῶν. Π. ʻἐπὶ τῶν ἀκανθῶν· Ιϐ. ʻἐπὶ τὰς ἀκάνθας. 175 Π. Ο. Μ. ʻὅτι τύπος ἐστὶ τοῦ Ἰησοῦ ἐν τῇ ἐκκλησίᾳ κατακείμενος. Λ. ʻἐγκείμενος. Κ. ʻὅτι τύπος ἐστὶ τοῦτο τοῦ Ἰησοῦ ἐν τῇ ἐκκλησίᾳ οὕτω θεμένος' 176 Π. Λ. ʻἵνα πᾶς ὃς ἐὰν θελήσῃ. Κ. ʻὅτι πᾶς ὁ θελήσων ἆραι δεῖ.' 177 Κ. ʻκρατῆσαι αὐτοῦ. 178 Μ. ʻὀφείλουσι θλιβέντες πολλαχῶς, κ̀ παθόντες πολλὰ ὑπὲρ τοῦ ὀνόματός μου λαβεῖν με.' 179 Γ. δοκεῖται. 180 Π. Λ. ʻἐντέλλονται αἱ Γραφαὶ τῷ Ἰσραὴλ τοῦ προσφέρειν. 181 Γ. ʻἔριν. 182 Λ. Ι. Κ. ʻτὴν σποδὸν κ̀ βαλεῖν εἰς ἄγγη καινά.' 183 Π. ʻἐπὶ ξύλου. Κ. ʻἐπὶ ξύλων τὸ ἔριον κ̀ τὸν ὕσσωπον. 184 Γ. ʻεἶδε. Λ. Ιϐ. Ο. ʻἸδοὺ (Κ. Π. ʻἼδε) πάλιν ὁ τύπος ὁ τοῦ σταυροῦ.'

τὸ ἔριον τὸ κόκκινον ϗ τὸν ὕσσωπον [185] ϗ οὕτως ῥαντίζειν τὰ παιδία καθένα [186] τὸν λαόν· ἵνα ἁγνίζονται ἀπὸ τῶν ἁμαρτιῶν; Νοεῖτε, * πῶς ἐν ἁπλότητι λέγεται ὑμῖν νόμος Χριςὸς Ἰησοῦς ἐςιν· οἱ προσφέροντες ἄνδρες ἁμαρτωλοί,† οἱ προσενέγκαντες αὐτὸν ἐπὶ τὴν σφαγήν. Εἶτα οὐκ ἔτι ἄνδρες, οὐκ ἔτι ἁμαρτωλῶν ἡ δόξα.[187] Οἱ ῥαντίζοντες παῖδες. εὐαγγελισάμενοι ἡμῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ϗ τὸν ἁγνισμόν. οἷς ἔδωκεν τοῦ εὐαγγελίȣ τὴν ἐξȣσίαν (οὖσιν ΙΒ΄ εἰς μαρτύριον τῶν φυλῶν, ὅτι ΙΒ΄ φυλαὶ τοῦ Ἰσραὴλ) εἰς τὸ κηρύσσ(ε)ιν.[188] Διὰ τί δὲ τρεῖς παῖδες οἱ ῥαντίζοντ-

---

185 Κ. ʽϗ τὸ ὕσσωπον. 186 Α. Ι. ʽκαθένα ἕκαςον ἐκ τοῦ λαοῦ. * Γ. ʽΝοεῖται.. Α. Π. ʽ Νοεῖτε οὖν πῶς ἐν πάσῃ ἁπλότητι λέγεται ἡμῖν ὁ ὑπὸ τοῦ νόμȣ προσφερόμενος μόσχος ἐςὶν αὐτὸς ὁ Ἰησοῦς Χριςός;ʼ Κ. ʽὁ μόσχος ὁ Ἰησοῦς ἐςιν; Ἰδ. ʽΝοεῖτε δὲ πῶς ἐν ἁπλότητι λέγεται ἡμῖν, ὡς ὁ προσφερόμενος ὑπὸ τοῦ νόμȣ μόσχος εἰκονίζει τὸν Ἰησοῦν; † Ο. Π. Ι. ʽΟἱ δὲ προσφέροντες ἄνδρες ἁμαρτωλοί εἰσι. 187 Π τ Χ. ʽΕἶτα δὲ οὐκ ἔτι ἄνδρες τοιοῦτοι, οὐκ ἔτι ἄνδρες ἁμαρ.τῶν. οὐκ ἔςιν ἁμαρτωλῶν ἡ δόξα αὕτη.ʼ 188 Π τ Χ. ʽΟἱ δὲ ῥαντίζοντες τρεῖς (Κ. ἄνευ τοῦ ΤΡΕΙΣ) παῖδες, οἱ εὐαγγελισάμενοι ἡμῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, ϗ τὸν ἁγνισμὸν τῆς καρδίας οἷς δέδωκε τοῦ εὐαγγελίȣ τὴν ἐξȣσίαν ϗ τὴν κυρότητα (οὖσι δεκαδύω εἰς μαρτύριον τῶν φυλῶν, ὅτι δε-

τις; Εἰς μαρτύριον Ἀβραὰμ Ἰσ(α)ὰκ Ἰακώβ. ὅτι αὐτοὶ μεγάλοι τῷ Θεῷ.[189] Ὅτι δὲ τὸ ἔριον ἐπὶ τὸ ξύλον;[190] Ὅτι ἡ βασιλεία Ἰησοῦ ἐπὶ ξύλῳ· καὶ ὅτι οἱ ἐλπίζοντες ἐπ' αὐτὸν ζήσονται εἰς τὸν αἰῶνα.[191] Διὰ τί δὲ ἅμα τὸ ἔριον[192] καὶ τὸ ὕσσωπον; Ὅτι ἐν τῇ βασιλείᾳ αὐτοῦ ἡμέραι ἔσονται ῥυπαραὶ καὶ πονηραί, ἐν αἷς ἡμ(ε)ῖς σωθησόμεθα· ὅτι ὁ ἀλγῶν σάρκα[193] διὰ τοῦ ῥύπου τοῦ ὑσσώπου ἰᾶται.[194] Καὶ διὰ τοῦτο οὕτως γενόμενα ἡμῖν μὲν ἐστὶν φανερά, ἐκείνοις δὲ σκότια·[195] ὅτι[196] οὐκ ἤκουσαν φωνῆς Κυρίου. Λέγει γὰρ

καὶ δύο καὶ αἱ φυλαὶ τοῦ Ἰσραὴλ) εἰς τὸ κηρύσσειν.' Οὕτω φησὶν ὁ τοῦ Καρακαλινοῦ ἀπογράφου ἀπογραφεὺς Θεόφιλος, ἐν σημειώσει, ἀνέγνω ἐν τῷ τοῦ Ἡσυχίου ἀπογράφῳ. Τὸ χωρίον δὲ τοῦτο, ὦ φίλτατε Ῥοδοκανάκη, ἔχει ἀπαραλλάκτως καὶ ἐν τῷ τοῦ Ἀνικήτου, καὶ ἐν τῷ τοῦ Παπίου.

189 Π. Χ. 'Εἰς μαρτύριον τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰακὼβ τῶν πατέρων ἡμῶν· οὗτοι γὰρ μεγάλοι παρὰ τῷ Θεῷ.' 190 Κ. 'ἵνα τί δὲ τὸ ἔριον περὶ τὸ ξύλον; Α. 'τί δὲ τὸ ἔριον ἐπὶ ξύλῳ; Ἰδ. 'τί δὲ ἡ τοῦ ἐρίου περὶ τὸ ξύλον περιπλοκή; 191 Κ. Π. Α. 'Ὅτι ἡ βασιλεία τοῦ Ἰησοῦ διὰ ξύλου δέδοται καὶ ἐπὶ ξύλου ἐστίν· οἱ δὲ ἐλπίζοντες εἰς αὐτὸν (Ορ. ἐπ αὐτὸν) ζήσονται εἰς τὸν αἰῶνα.' 192 Π. 'τί τῷ ἐρίῳ καὶ ὁ ὕσσωπος; 193 Π. Α. 'ὅτι καὶ ὁ ἀλγῶν τὴν σάρκα. 194 Γ. 'ἰᾶται. 195 Ο. Π. Κ. 'σκοτεινὰ ὅλως. 196 'Ὅτι αὐτοὶ οὐκ ἤκουσαν τῆς φωνῆς τοῦ Κυρίου

πάλιν περὶ τῶν ὠτίων πῶς περιέτεμεν ἡμῶν ϗ τὴν καρδίαν.[197] Λέγει Κύριος ἐν τῷ προφήτῃ· ' Εἰς ἀκοὴν ὠτίου ὑπήκουσάν μου ' Καὶ πάλιν λέγει· ''Ακοῇ ἀκούσονται οἱ πόῤῥωθεν, ἃ ἐποίησα γνώσονται.' Καί, ' περιτμήθητε,[198] λέγει Κύριος, 'τὰς καρδίας ὑμῶν' Καὶ πάλιν λέγει· '"Ακουε 'Ισραὴλ, ὅτι τάδε λέγει Κύριος ὁ Θεός σου.'[199] ' Τίς

τῆς τὰ πάντα περὶ πάντων προειποίσης. 'Ούτω, φησὶ, Θεόφιλος, ἐν σημειώσει, ἀνέγνω ἐν τῷ τοῦ 'Ησυχίου ἀπογράφῳ. 197 'Εν τῇ σημειώσει Α΄ ϗ Ρ΄ τοῦ Καρακαλινοῦ ἀπογράφου σημειοῦται ὑπὸ Νικηφόρου τινὸς, ἡγουμένου τῆς τοῦ Καρακάλου μονῆς χρηματίσαντος τῷ ͵αωπθ΄ (ιϛ΄ ὅλα ἔτη μετὰ τὴν ἀντιγραφὴν· ἐξεγράφη γὰρ τὸ χειρόγραφον τῷ ͵αωογ΄) τάδε :- 'Τρία κατέχω χειρόγραφα τὴν ἱερὰν τοῦ Βαρνάβα καθολικὴν ἐπιστολὴν περιέχοντα, ϗ τὰ τρία διαφέρουσιν ἐν τῷ μέρει τούτῳ· γράφει γὰρ τὸ πρῶτον ταῦτα :- " Λέγει δὲ ἡμῖν ϗ πάλιν περὶ τῶν ὠτίων τάδε· ' ϗ πῶς περιέτεμε ϗ τὴν καρδίαν ἡμῶν ' Τὸ δὲ δεύτερον οὕτως ἔχει· ' Λέγει γὰρ ἡμῖν πάλιν ϗ περὶ τῶν ὠτίων, τῆς ἀκοῆς ἡμῶν. ϗ τίνι τρόπῳ περιέτεμεν ἡμῖν ϗ τὴν καρδίαν.' Τὸ δὲ τρίτον τάδε γράφει :- 'Φησὶ δὲ πάλιν οὐ μόνον περὶ τῶν ὠτίων, ἀλλὰ ϗ τὸ πῶς περιέτεμεν ἡμῶν ϗ τὴν καρδίαν. Λέγει τοίνυν ὁ Κύριος ἐν τοῖς προφήταις αὐτοῦ.'" 198 οὕτω ΠτΧ .Γ.' περίτμηται. 199 ΠτΧ: 'Ο Θεός σου.ὁ Θεὸς τῶν δυνάμεων.'Καὶ πάλιν τὸ πνεῦμα τοῦ

ἐστιν ὁ θέλων ζῆσαι [200] εἰς τὸν αἰῶνα; 'Ακοῇ ἀκούσατε [201] τῆς φωνῆς τοῦ παιδός μȣ.' Καὶ πάλιν λέγει· ''Ακȣε οὐρανὲ ϗ ἐνωτίζȣ γῆ, ὅτι Κύριος ἐλάλησεν.' Ταῦτα εἰς μαρτύριον. Καὶ πάλιν λέγει· ''Ακούσατε λόγον Κυρίου, ἄρχοντες τοῦ λαοῦ τούτου.' Καὶ πάλιν λέγει· 'ἀκούσατε, τέκνα, φωνῆς βοῶντος [202] ἐν τῇ ἐρήμῳ.' Οὐκοῦν περιέτεμεν ἡμῶν τὰς ἀκοάς, ἵνα ἀκούσωμεν λόγον [203] ϗ μὴ μόνον πιστεύσωμεν ἡμ(ε)ῖς. ἀλλὰ ϗ ἡ περιτομὴ ἐφ' ᾗ πεποίθασιν, κατήργηται. Περιτομὴν γὰρ εἴρηκεν οὐ σαρκὸς γεν(ν)ηθῆναι· ἀλλὰ παρέβησαν, ὅτ ἄγγελος πονηρὸς ἔσφαξεν αὐτούς [204] λέγει πρὸς αὐτούς· 'τάδε λέγει Κύριος ὁ Θεὸς ὑμῶν' (ᾧδε εὑρίσκω ἐντολὴν) [205] 'μὴ σπείρετε [206] ἐπ' ἀκάνθαις περιτμήθητε [207] τῷ Θεῷ ὑμῶν.' Καὶ

Κυρίȣ προφητεύει. 'Τίς ἐστιν. ϗτλ. 200 Γ. 'ζῆσαι. 201 Γ. 'ἀκούσαται.' 202 Γ. 'φωνὴ β. ΠτΧ. 'τῆς φωνῆς τοῦ βοῶντος ἐν τ. ἐρ. 203 'τὸν λόγον τοῦ κηρύγματος ϗ πιστεύσωμεν, ϗ μὴ μόνον πιστεύσωμεν ἡμεῖς. ἀλλὰ καὶ ἡ περιτομὴ ἐφ' ᾗς πεποίθαμεν πάντες καταργηθήσεται· τοῦ Λόγȣ γὰρ γεννηθέντος κατήργηται ἡ περιτομή.' 204 ''Εἔσφαξεν ἐν αὐτοῖς τὸν λόγον τῆς γνώσεως, ϗ ἐσόφιζεν αὐτοὺς σοφίσμασι πονηροῖς.' Οὕτω τὸ τῆς Λαύρας· τὰ δὲ λοιπὰ ᾧδ' ἔχει: 'ϗ ἐφώτιζεν αὐτοὺς σοφίσμασι πονηροῖς.' 205 Κ. Π. ('ὧδε εὑρίσκω ἑτέραν ἐντολήν.') Ι. Ο. ''Ιδοὺ ϗ ἑτέρα νέα ἐντολή.' 206 Γ. 'σπείρεται ἐπ' ἀκάνθαις.' Κ.

τί λέγει; ‘ περιτμήθητε τὴν σκληροκαρδίαν ὑμῶν, ϗ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε.’ [208] ’Ιδοὺ, λάβε πάλιν· [209] ‘ ἰδοὺ, λέγει Κύριος· πάντα τὰ ἔθνη ἀκροβυστίαν· [210] ὁ δὲ λαὸς οὗτος ἀπερίτμητος καρδίας.’ ’Αλλ’ ἐρ(ε)ῖς· καὶ περιτέτμηται ὁ λαὸς εἰς σφραγῖδα.[211] ’Αλλὰ ϗ πᾶς Σύρος, ϗ ’Αραψ,[212] ϗ πάντες οἱ ἱερεῖς τῶν (ε)ἰδώλων. ’Αρα οὖν[213] κἀκεῖνοι ἐκ τῆς διαθήκης αὐτῶν εἰσιν; ’Αλλὰ ϗ οἱ Αἰγύπτιοι ἐν περιτομῇ εἰσιν. Μάθετε οὖν, τέκνα ἀγάπης,[214]

Λ. Π. ‘ μὴ σπείρητε ἐν ταῖς ἀκάνθαις· ὅτι οὐδὲν ἀγαθὸν ἐξ ἀκανθῶν.’ 207 Γ. ‘ περιτμήθηται κτλ. ΠτΧ. π. τῷ Κυρίῳ ϗ Θεῷ ἡμῶν.’ 208 Κ.Λ. ‘ ϗ τί λέγει; περιτμηθήτω ἡ σκληροκαρδία ὑμῶν. ϗ ὁ τράχηλος ὑμῶν οὐ μὴ σκληρυνθήτω.’ Ι.Ο.Π. . . ‘ περιτμήθητε (Γ. περίτμηται) πάντες κατὰ τὸ σκληρὸν τῆς καρδίας ὑμῶν, ϗ τὸν τράχηλον ὑμῶν οὐ μὴ σκληρύνητε.’ 209 Ι.Κ.Λ. ’Ιδοὺ ἀκούσατε πάλιν, ὦ τέκνα.’ Ο. Π. ‘ ϗ πάλιν, ὦ τέκνα, ἀκούσατε.’ 210 Ι. Κ. ‘ ἀκροβυστίαν ἔχουσιν.’ Π. ‘ ἀπερίτμητα ϗ ἀκρόβυστα· πᾶς δὲ οἶκος ’Ισραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν.’ Μ.Ο. ‘ πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, ὁ δὲ λαὸς οὗτος ἀπερίτμητοι καρδίας αὐτῶν.’ 211 Κ. ‘ ϗ δὴ (Ιϐ. ‘ϗ μὴν) περιτέτμηταί τε ϗ περιτέμνεται κανονικῶς ὁ λαὸς εἰς σφραγῖδα.’ 212 Π. ‘ἀλλὰ ϗ πᾶς Σύρος ϗ πᾶς ’Αραψ. 213 Ο. ‘ ἆρ’ οὖν κἀκεῖνοι πάντες. 214 Ι.Κ.Ο. ‘ Μάθετε οὖν. τέκνα ἀγάπης, ἀφθόνως πάντα περὶ πάντων.

περὶ πάντων, ὅτι Ἀβραὰμ [215] πρῶτος περιτομὴν δοὺς, ἐν πνεύματι πλησίως προβλέψας εἰς τὸν Ἰησοῦν περιέτεμεν, λαβὼν Γ' γραμμάτων δόγματα. Λέγει γάρ· καὶ περιέτεμεν Ἀβραὰμ ἐκ τοῦ οἴκου αὐτοῦ ἄνδρας δεκαοκτὼ καὶ τριακοσίους.' Τίς [216] οὖν ἡ δοθεῖσα αὐτῷ γνῶσις; Μάθετε·

---

215 Μ,Π. 'ὅτι Ἀβραάμ ἐστιν ὁ πρῶτος περιτομὴν δοὺς, ἐν πνεύματι πλησίως προβλέψας κτλ. Τὸ ἐπίῤῥημα πλησίως λείπει ἐκ τῶν L.K.Δ. ἀπογράφων. 216 Ἐν τῇ Ρ· σημειώσει τοῦ ἀπογράφου τοῦ Γασπάρεως ἀπαντᾶται ἡ σημείωσις ἥδε: 'Τὸ χωρίον τοῦτο ἔοικέ μοι εἶναι λίαν συγκεχυμένον· ἔχει γὰρ τοῦτο ἄλλως ἐν ἄλλοις, ὡς ὧδε :-

" Τίς οὖν ἡ δοθεῖσα τῷ Ἀβραὰμ ἀληθὴς γνῶσις τούτων; καὶ ἵνα τί τοὺς δέκα πρῶτα, εἶτα τοὺς ὀκτὼ, εἶτα τοὺς τριακοσίους περιέτεμε; Λέγει γάρ· καὶ περιέτεμεν Ἀβραὰμ ἐκ τοῦ οἴκου αὐτοῦ ἄνδρας ἐκλεκτοὺς δέκα καὶ ὀκτὼ καὶ τριακοσίους.' Τί τὸ δηλούμενον τούτων; Ὁ Ἰησοῦς καὶ ὁ Σταυρός. Σημαίνει γὰρ ὁ δέκα ἀριθμὸς τὸ πρῶτον γράμμα τοῦ ὀνόματος Ἰησοῦ, τὸ ἰῶτα· τὸ δὲ ὀκτὼ τὸ δεύτερον γράμμα αὐτοῦ, τὸ ἦτα· ὁ δὲ τριακοσιοστὸς, τὸ γράμμα ταῦ, τυποῖ τὸν Σταυρὸν διὰ τὸ ὁμοιόσχημον. Ἔχεις οὖν ἐν τοῖς δυσὶ πρώτοις τὸν Ἰησοῦν, καὶ τὸν Σταυρὸν ἐν τῷ τρίτῳ· ὅτι ὁ Σταυρὸς ἐν τῷ ΤΑΥ ἔμελλεν ἔχειν τὴν χάριν· δι' ὃ καὶ τοὺς τριακοσίους διαφέρει ἄνδρας. Δηλοῖ οὖν τὸν μὲν Ἰησοῦν ἐν τοῖς δυσὶ γράμμασι, καὶ ἐν τῷ ἑνὶ τὸν Σταυρόν."

ὅτι τοὺς δεκαοκτὼ πρώτους, ἢ διάστημα ποιήσας λέγει 'τριακοσίους.' Τὸ δεκαοκτὼ ἔχ(ε)ις ΙΗΣΟΥΝ. Ὅτι δὲ ὁ σταυρὸς ἐν [τῷ][217] τριακοστῷ ἤμελλεν ἔχ(ε)ιν τὴν χάριν, λέγει ἢ τριακοσίους. Δηλοῖ οὖν τὸν μὲν Ἰησοῦν ἐν

Καὶ οὕτω μὲν ἔχει ἡ Ρ' σημείωσις τοῦ ἀπογράφου τοῦ Γασπάρεως, ἥν περ κἀγώ, πρὸς ἡμετέραν ὁδηγίαν, ἐδήλωσα διὰ τοῦ ἀριθμητικοῦ γράμματος Ρ, μεταξὺ τῆς ἐρωτηματικῆς ἀντωνυμίας ΤΙΣ (εἴπερ οὐκ ἀπατῶμαι ἤδη ἡ μνήμη) γράψας καὶ διαγράψας γραμμῇ. Περιέχονται δὲ ἐν τῷ αὐτῷ χειρογράφῳ πλὴν τῶν ἑκατῶν τούτων σημειώσεων, ἢ ἄλλαι πολλαὶ ἢ καλαὶ μετὰ τὴν Ρ' σημείωσιν, ὑπὸ νεωτέρας ὅμως χειρὸς γεγραμμέναι, ἃς ἢ παρέλειψα, καθὸ νεωτέρας οὔσας. Ἔχουσι δὲ ἢ τὰ λοιπὰ ἓξ ἀπόγραφα σημειώσεις τινὰς συγχρόνους αὐτοῖς ἢ ὑστεροχρόνους, ἢ ἅς περ ἀλλαχοῦ δηλώσω σοι, ἐν ταῖς σημειώσεσι. Τὸ δὲ χωρίον τοῦτο ἀναγινώσκεται ἔν τε τῷ τοῦ Ι. ἀπογράφῳ ἢ τῷ τοῦ Κ. ἢ τῷ τοῦ Ον. ὡς ἑξῆς:-

'Τίς οὖν ἡ γνῶσις αὕτη ἡ δοθεῖσα τῷ Ἀβραάμ; Μάθετε ὅτι τοὺς δεκαοκτὼ πρώτους (Π. πρώτως) εἶπεν, εἶτα μικρὸν διάστημα ποιήσας, λέγει τριακοσίους. Ἐν τῷ δεκάτῳ ὀγδόῳ ἀριθμῷ, ὅς περ ἢ σημειοῦται διά τε τοῦ Ἰῶτα ἢ τοῦ Ἦτα, ἔχεις Ἰησοῦν. Ὅτι δὲ ἢ ὁ Σταυρὸς ἐν τῷ γράμματι Ταῦ ἔμελλεν ἔχειν τὴν χάριν, λέγει ἢ τοὺς τριακοσίους.'

217 Γ. Ἡμετέρα πρόσθεσις τὸ ἄρθρον ΤΩι

τοῖς δυσὶν γράμμασιν, ϗ ἐν τῷ ἑνὶ τὸν σταυρόν. Οἶδεν ὅτι τὴν ἔμφυτον δωρεὰν τῆς διαθήκης αὐτοῦ θέμενος ἐν ἡμῖν. Οὐδεὶς γνησιώτερον ἔμαθεν ἀπ' ἐμοῦ λόγον· ἀλλὰ ὅτι ἄξιοι ἐστὲ ὑμεῖς.[218] "Οτι δὲ Μωσῆς εἶπεν·[219] οὐ φάγεσθε χοῖρον, οὔτε ἀετὸν, οὔτε ὀξύπτερον, οὔτε κόρακαν,[220] οὔτε ἰχθὺν, ὃς οὐκ ἔχει λεπίδα[221] ἐν ἑαυτῷ· Τρία ἔλαβεν ἐν τῇ συνέσει δόγματα. Πέρας γέ τοι λέγει αὐτοῖς ἐν τῷ Δευτερονομίῳ· ' ϗ διαθήσομαι πρὸς τὸν λαὸν τοῦτον τὰ δικαιώματά μου.' 'Αρα οὖν οὐκ ἔστιν ἐντολὴ Θεοῦ τὸ μὴ τρώγειν; Μωϋσῆς δὲ ἐν πνεύματι ἐλάλησεν. Τὸ οὖν χοίριον[222] πρὸς τοῦτο εἶπεν·[223] οὐ κολ(λ)ηθήσῃ, φησὶν, ἀνθρώποις τοιούτοις οἵτινές εἰσιν ὅμοιοι χοίρων.[224] Τουτέστιν ὅταν σπαταλῶσιν ἐπιλανθάνονται τοῦ Κυρίου· ὅταν δὲ ὑστεροῦνται ἐπιγινώσκουσιν τὸν Κύριον, ὡς ϗ ὁ χοῖρος,[225] ὅταν τρώγῃ τὸν κύριον οὐκ οἶδεν· ὅταν δὲ (πεινάσῃ) ἐπι-

218 Κ.Λ.Π. ' οὐδεὶς γνησιώτερον ἔμαθεν ἀπ' ἐμοῦ λόγον πλὴν ὑμῶν, ὦ τέκνα ἀγαπητά· οἶδα γὰρ ὅτι ἄξιοι ἐστὲ ὑμεῖς τούτου.' 219 ΠτΧ. ' ὅτι δὲ Μωϋσῆς εἴρηκε τοῖς πατράσιν ἡμῶν· οὐ φάγεσθε χοῖρον' κτλ. 220 Γ. 'κόρακαν. 221 ΠτΧ. ' ὃς οὐκ ἔχει λεπίδας. 222 Ι.Κ.Ο. 'χοιρειον. Π. 'χοίρειον κρέας. 223 Ο.Π. ' εἴρηκεν οὐ μὴ κολληθείσῃ. 224 Κ.Λ. ' οἵτινες τὰ τῶν χοίρων ποιοῦσιν σπαταλῶντες γὰρ οἱ τοιοῦτοι. Ι.Π. ' οἵτινές εἰσι χοίροις ὁμοιότατοι· οὗτοι γὰρ ὅταν σπαταλῶσιν. 225 ' ὁ χοῖ-

κραυγάζει·[226] ᾗ λαβὼν πάλιν σιωπᾷ. ʽΟὔτε φάγῃ(ς)[227] τὸν ἀετὸν, οὐδὲ τὸν ὀξύπτερον, οὐδὲ τὸν ἰκτῖνα, οὔτε τὸν κόρακα.ʼ Οὐ μὴ, φησιν, κολληθήσῃ, οὐδὲ ὁμοιωθήσῃ ἀνθρώποις τοιούτοις, οἵτινες οὐκ οἴδασιν διὰ κόπυ ᾗ ἱδρῶτος ἑαυτοῖς πορίζειν τὴν τροφὴν, ἀλλὰ ἁρπάζουσι τὰ ἀλλότρια ἐν ἀνομίᾳ αὐτῶν· ᾗ περιτηροῦσιν[228] ἐν ἀκεραιοσύνῃ περιπατοῦντες. Καὶ περιβλέπονται τίνα ἐκδύσωσιν διὰ τὴν πλεονεξίαν, ὡς ᾗ τὰ ὄρνεα ταῦτα μόνα ἑαυτοῖς οὐ πορίζει τὴν τροφὴν, ἀλλὰ ᾗ τὰ[229] καθήμενα ἐκζητεῖ πῶς ἀλλοτρίας σάρκας φάγῃ,[230] ὄντα λοιμὰ τῇ πονηρίᾳ αὐτῶν. Καὶ οὐ φάγῃ(ς), φησίν, σμύρ[αι]ναν,[231] οὐδὲ πώλυπαν, οὐδὲ

ρος Κ Σ˙ ὅταν τρώγῃ. 226 Γ ʽὅταν δὲ (Δ. πινᾷ) ἐπικραυγάζει κτλ. Κ.Ο.Π. ʽὅταν δὲ πεινάσῃ κραυγάζει ᾗ ἐπικραυγάζει. 227 Λ.Ο.Π. ʽᾗ αὖθις λέγει· οὐ δὲ μὴ τον ἀετὸν φάγῃς. ὡς οὐδὲ τὸν ὀξύπτερον, οὐδὲ μὴ τὸν ἰκτῖνον, οὐδὲ τὸν κόρακα. 228 Κ.Π. ʽᾗ παρατηροῦσιν ὡς ἐν ἀκεραιοσύνῃ (Γ. ἀκεριοσύνῃ) μεγάλῃ περιπατοῦντες. Ι.Ο. ʽᾗ καραδοκοῦσιν ἐν ἀκεραιοσύνῃ περιπατοῦντες· 229 Κ.Λ.Π. ʽταῦτα μόνα (Ι. ʽταῦτα ᾗ μόνα) διὰ κόπυ ἑαυτοῖς οὐ πορίζει τὴν τροφὴν, ἀλλὰ ᾗ τὰ ἀργὰ καθίμενα. 230 Ι.Π. ʽκαταφάγῃ ὅταν λοιμᾷ τῇ πονηρᾷ αὐτῶν φύσει. Ο. καταβροχθίζει ὄντα λοιμὰ τῇ πονηρᾷ αὐτῶν φύσει. 231 Ο.Π. ʽᾗ οὐ μὴ φάγῃ, φησίν, μύραιναν (Κ. ʽσμύρναν) οὐδὲ μὴ πώλυπον. Λ. ʽπολύποδα. 232 Κ.Ο. ʽὁμοιωθήσῃ σὺ ἀνθρώ-

σηπίαν οὐ μὴ φάγωσιν.' Οὐ μὴ, φησιν ὁμοιωθήσῃ[232] ἀνθρώποις τοιούτοις, οἵτινές εἰσιν ἀσεβεῖς[233] εἰς τέλος, καὶ κεκριμένοι ἤδη τῷ θανάτῳ· ὡς ϗ ταῦτα τὰ ἰχθύδια μόνα ἐπικατάρατα, τὰ ἐν τῷ βυθῷ νήχεται μὴ κολυμβῶντα[234] ὡς ϗ τὰ λοιπὰ, ἀλλὰ ἐν τῇ γῇ κάτω τοῦ βυθοῦ κατοικ(ε)ῖ. 'Αλλὰ ϗ τὸν δασύποδα[235] οὐ μὴ φάγῃ. Πρὸς τί; οὐ μὴ γίνῃ παιδοφθόρος, οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιούτοις· ὅτι ὁ λαγωὸς[236] κατ' ἐνιαυτὸν πλεονεκτ(ε)ῖ τὴν ἀφόδευσιν. ῞Οσα γὰρ ἔτη ζῇ, τοσαύτας ϗ ἔχει τρύπας[237] 'Αλλ' οὐδὲ τὴν ὕαιναν[238] φάγῃ.' Οὐ μὴ, φησιν, γίνῃ μοιχὸς, οὐδὲ διαφθορεὺς, οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιούτοις. Πρὸς τί; [239] ὅτι τὸ ζῶον τοῦτο παρ' ἐνιαυτὸν[240] ἀλλάσσει τὴν φύσιν, καὶ ποτε μὲν ἄῤῥεν, ποτὲ δὲ θῆλυ γίνεται.[241] 'Αλλὰ ϗ τὴν

ποις τοιούτοις προσκολλώμενος ἢ ἀναστρεφόμενος. Ι.Π. προσκολ. ϗ ἀναστρεφ. 233 Ι.Λ.Π. . οἵτινες ὅλως εἰσὶν ἀσεβεῖς (Κ. 'ἀσεβεῖς ἐν πᾶσι) ϗ τῷ θανάτῳ κεκριμένοι ἐκ κοιλίας μητρός 234 ' ϗ μὴ κολυμβῶντα. 235 Ι.Λ.Ο ' ἀλλὰ ϗ τὸν δασύποδά, φησιν, οὐ μὴ φάγῃ· 236 'Ονησίμη χειρ: 'ὅτι ὁ λαγωὸς κατ' ἐνιαυτὸν πλεονεκτεῖ τὴν αὐτοῦ ἀφόδευσιν· ὅσα γὰρ ἔτη ζῇ οὗτος ἰσαρίθμης ἔχει ϗ τοὺς φωλεούς. Οὕτω ϗ τὸ τοῦ Καρ. ἔχει. 237 Παπίου: 'τοσαύτας ἔχει ϗ τὰς φωλεὰς τῆς καταφυγῆς. 238 Γ. ' ὕεναν. 239 Ο. ' πρὸς τί οὖν ϗ τοῦτο; ὅτι τὸ ζῶον τοῦτο. 240 Ο. ' κατ' ἐνιαυτὸν μεταβάλλει παραδόξως τὴν (Π. αὐτῆς) φύσιν.

γαλῆν ἐμίσησε καλῶς. Οὐ μή, φησιν,[242] γεν(ν)ηθῇς τοιοῦτος οἵης ἀκούομεν ἀνομίας ποιοῦντας ἐν τῷ σώματι δι' ἀκαθαρσίαν· οὐδὲ ταῖς τὴν ἀνομίαν ποιοῦσαι ἐν τῷ στόματι, καὶ ἀκαθαρσίᾳ[243] κολληθήσῃ. Τὸ γὰρ ζῶον τοῦτο τῷ στόματι κύει. Περὶ μὲν τῶν βρωμάτων λαβὼν[244] Μωϋσῆς τρία δόγματα οὕτως ἐν πνεύματι ἐλάλησεν· οἱ δὲ κατ' ἐπιθυμίαν τῆς σαρκὸς ὡς περὶ βρώσεως προσεδέξαντο.[245] Λαμβάν(ε)ι δὲ τῶν αὐτῶν τριῶν δογμάτων γνῶσιν Δαυίδ[246] ϗ λέγει· ' Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν,' καθὼς ϗ οἱ ἰχθύες πορεύονται ἐν σκότ(ε)ι εἰς τὰ βάθη. ' ϗ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη,' καθὼς οἱ δοκοῦντες φοβῆσθαι τὸν Κύριον, ἁμαρτάνουσιν ὡς οἱ χοῖροι. ' ϗ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν,' καθὼς τὰ πετ(ε)ινὰ τὰ καθήμενα εἰς ἁρπαγήν. Ἔχε τελ(ε)ίως ϗ περὶ τῆς βρώσεως.[247] Πάλιν λέγει Μωϋσῆς· ' ϗ φάγεσθε[248] πᾶν διχηλοῦν ϗ μηρυκώμενον.' Τί λέγει; Ὅτι τὴν τροφὴν λαμβά-

---

241 Γ. ' γείνεται. 242 Π. ' οὐ μὴ γάρ φησιν γεννηθῇς σὺ τοιοῦτος, ϗ ὁμοιωθήσῃ ταῖς τοιούτοις, οἵης κτλ. 243 Ι.Κ.Ο. ' ἐν ἀκαθαρσίᾳ μεγάλῃ κολληθήσῃ σύ. 244 Ι.Κ.Ο. ' διαλαβὼν ὁ Μωϋσῆς. 245 Λ.Ο.Π. ' ἀσμένως προσεδέξαντο. Κ. ' ἀσμένως ἠσπάσαντο. 246 ΠτΧ ' Δαυίδ ὁ προφήτης· ϗ λέγει ὁμοίως ψάλλων οὕτω. 247 Ι.Κ.Π. ' ἔχετε τελείως ϗ τὰ περὶ τῆς βρώσεως ϗ ἐκ τῶν τοῦ Δαυίδ ψαλμῶν. 248 Γ.' ϗ φάγεσθαι. - μαρυκούμενον 249 Γίνωσκε

νων οἶδεν[249] τὸν τρέφοντα αὐτὸν, ϗ ἐπ' αὐτῷ ἀναπαυόμενος εὐφραίνεσθαι δοκεῖ. Καλῶς εἶπεν βλέπων τὴν ἐντολήν. Τί οὖν λέγει; Κολλᾶσθαι μετὰ τῶν φοβημένων τὸν Κύριον, μετὰ τῶν μελετούντων ὃ ἔλαβον, διάσταλμα ῥήματος ἐν τῇ καρδίᾳ, μετὰ τῶν λαλούντων τὰ δικαιώματα Κυρίȣ ϗ τηρούντων, μετὰ τῶν εἰδότων, ὅτι ἡ μελέτη ἐςὶν ἔργον εὐφροσύνης, ϗ ἀναμηρυκώμενοι* τὸν λόγον τοῦ Κυρίȣ. Τί δὲ τὸ διχηλοῦν; Ὅτι ϗ ὁ δίκαιος ἐν τούτῳ τῷ κόσμῳ περιπατ(ε)ῖ ϗ τὸν[250] ἅγιον αἰῶνα ἐκδέχεται· Βλέπετε, πῶς ἐνομοθέτησεν Μωϋσῆς καλῶς. Ἀλλὰ πόθεν ἐκείνο(ι)ς[251] ταῦτα νοῆσαι ἢ συνιέναι; Ἡμεῖς δὲ δικαίως νοήσαντες τὰς ἐντολὰς δικαίως[252] λαλοῦμεν ὡς ἠθέλησεν ὁ Κύριος. Διὰ τοῦτο [253] περιέτεμεν τὰς ἀκοὰς ἡμῶν ϗ τὰς καρδίας. ἵνα συνιῶμεν

ὅτι τὸ ἐφελκυστικὸν Ν ἐν τοῖς λοιποῖς ἐξ ἀπογράφοις εὕρηται ἔν τε ταῖς εἰς ΣΙΝ δοτικαῖς πληθυντικαῖς, ϗ ἐν τοῖς εἰς ΕΝ ϗ ΙΝ λήγοντα τρίτα πρόσωπα τῶν ῥημάτων, ἐπὰν ἡ ἀκόλȣθος λέξις ἄρχεται ἀπὸ φωνήεντος, ἂν δὲ ἀπὸ συμφώνȣ οὐδαμοῦ ἀπαντᾶται. Ὁ δὲ Γάσπαρης οὐκ οἶδε τὸν γραμματικὸν κανόνα τοῦτον, ὅτι ὑπεραγαπᾷ τὸ Ν, ὡς περ ϗ οἱ ποιηταί. * Γ. ἀναμαρυκώμενον. 250 Ο. ' ϗ τὸν μέλλοντα ἅγιον αἰῶνα. 251 Ἡμετ. διόρθ. οὕτω γὰρ ἐν πᾶσι τοῖς ἀπογράφοις ἔχει· τὸ δὲ τοῦ Γασπάρεως, ἐ κ ε ῖ ν ο ς . 252 ΠτΧ. ' ἐν γνώσει ϗ δικαίως λαλοῦμεν, ἃ λαλοῦμεν. 253 ΠτΧ. ' διὰ τοῦτο ϗ περιέτεμε. 254 Κ.Π. ' ἵνα κατανοῶμεν ταῦτα

ταῦτα.[254] Ζητήσωμεν[255] ταῦτα, εἰ ἐμέλησεν τῷ Κυρίῳ προεφανέρωσεν περὶ τοῦ ὕδατος καὶ περὶ τοῦ ταυροῦ. Περὶ μὲν τοῦ ὕδατος γέγραπται ἐπὶ τὸν Ἰσραὴλ, πῶς τὸ βάπτισμα, τὸ φέρον εἰς ἄφεσιν ἁμαρτιῶν, οὐ μὴ προσδέξωνται,* ἀλλ᾽ ἑαυτοῖς οἰκοδομήσουσιν. Λέγει γὰρ ὁ[256] προφήτης· Ἔκστηθι, οὐρανὲ. κ̓ ἐπὶ τούτῳ πλ(ε)ῖον φριξάτω ἡ γῆ, ὅτι δύο [κάκιϛα] κ̓ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος. ἐμὲ ἐγκατέλιπον πηγὴν ζωῆς,[257] κ̓ ἑαυτοῖς ὤρυξαν βόθρον θανάτȣ. Μὴ πέτρα ἐρημός ἐϛιν τὸ ὄρος τὸ ἅγιόν μȣ Σινᾶ;[258] Ἔσεσθε γὰρ ὡς πετ(ε)ινοῦ νοσσοὶ ἀνιπτάμενοι νοσσιᾶς ἀφῃρημένοι.᾽ Καὶ πάλιν λέγει ὁ προφήτης·[259] Ἐγὼ πορεύσομαι ἔμπροσθέν σου, κ̓ ὄρη ὁμαλιῶ, κ̓ πύλας χαλκᾶς συντρίψω, κ̓ μοχλοὺς σιδηροῦς συγκλάσω,[260] κ̓ δώσω σοι θησαυροὺς σκότȣς[261] ἀποκρύφȣς, ἀορά-

---

πάντα. 255 Κ.Λ.Ο. ᾿ἴδωμεν δὲ εἴπερ ἠμέλησε τῷ Κυρίῳ ἡμῶν προφανερῶσαι κ̓ περὶ τοῦ ὕδατος, κ̓ περὶ τοῦ ταυροῦ. Καὶ περὶ μὲν τοῦ.᾽* Γ. ᾿προσδέξονται. 256 Ο.Π. ᾿λέγει γοῦν ὁ προφήτης Ἱερεμίας᾽ ᾿ἔκστηθι, ὦ οὐρανὲ, ἐπὶ τούτῳ. κ̓ φριξάτω (Γ. φραξάτω πλῖον) πλεῖον σφόδρα ἡ γῆ ἐπὶ τοῖς γιγνομένοις᾽ ὅτι δύω κάκιϛα κ̓ πονηρὰ ἐποίησεν ὁ λαός με οὗτος. 257 ΠτΧ. ᾿πηγὴν ὕδατος ζωῆς. 258 ΠτΧ. Σιών; Γ. Συνᾶ ἔσεσθε γὰρ ὡς πετινοῦ νοσσοὶ. ἀνεπτάμενοι νοσσιᾶς ἀφειρημένοι., 259 ΠτΧ. ᾿ὁ προφήτης Ἡσαΐας. ᾿Ἐγὼ ἔμπροσθέν σȣ πορεύσομαι, κ̓ θύρας 260 Γ. ᾿συνκλάσω.

τους,[262] ἵνα γνῶσιν ὅτι ἐγὼ Κύριος ὁ Θεός.' Καί, 'κατοικήσεις[263] ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς' Καί 'τὸ ὕδωρ αὐτοῦ πιστόν· βασιλέα μετὰ δόξης ὄψεσθε, καὶ ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον Κυρίου.' Καὶ πάλιν ἐν ἄλλῳ προφήτῃ λέγει· 'καὶ ἔσται ὁ ταῦτα ποιῶν ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤ(ῥ)υήσεται· καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται· οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρί[πτει ὁ ἄνε]μος ἀπὸ προσώπου τῆς γῆς. Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ[264] ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· ὅτι γινώσκ(ε)ι[265] Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολ(ε)ῖται.' Αἰσθάνεσθε[266] πῶς τὸ ὕδωρ καὶ τὸν σταυρὸν ἐπὶ τὸ αὐτὸ ὥρισεν. Τοῦτο γὰρ λέγ(ε)ι· μακάριοι οἱ ἐπὶ τὸν σταυρὸν ἐλπίσαντες, κατέβησαν εἰς τὸ ὕδωρ. ὅτι τὸν μὲν μισθὸν, λέγει, ἐν καιρῷ αὐτοῦ· τότε, φησίν, ἀποδώσω. Νῦν δὲ, ὃ λέγει· 'τὰ φύλλα οὐκ ἀποῤ(ῥ)υήσεται.' Τοῦτο λέγει ὅτι πᾶν ῥῆμα, ὃ ἐὰν ἐξελεύση-

261 ΠτΧ. 'σκοτεινούς. 262 ΠτΧ. 'ἀοράτους ἀνοίξωσιν, ἵνα γνῷς ὅτι ἐγὼ εἰμὶ Κύριος ὁ Θεός σου.' 263 ΠτΧ. 'καὶ οἰκίσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς.' Εἶτα τί λέγει τῷ Υἱῷ; 'Καὶ τὸ ὕδωρ αὐτοῦ πιστὸν πίστεως., 264 ΙΚΠ. ἄνευ τοῦ ἄρθρου ΟΙ. 265 Γ. 'γινώσκει. 266 Γ. 'Αἰσθάνεσθαι.'

ται [267] ἐξ ὑμῶν διὰ τοῦ ςόματος ὑμῶν ἐν πίς(ε)ι ϗ ἀγάπῃ. ἔςαι [268] εἰς ἀποςροφὴν ϗ ἐλπίδα πολλοῖς. Καὶ πάλιν ἕτερος [269] προφήτης λέγει· ʽϗ ἦν ἡ γῆ τοῦ Ἰακὼβ ἐπαινομένη παρὰ πᾶσαν τὴν γῆν.ʼ Τοῦτο λέγει τὸ σκεῦος τοῦ πνεύματος αὐτοῦ. δοξάζει. [270] Εἶτα τί λέγει; ϗ ἦν ποταμὸς ἕλκων ἐκ δεξιῶν, ϗ ἀνέβαινεν ἐξ αὐτοῦ δένδρα ὡραῖα· ϗ ὃς ἂν φάγῃ ἐξ αὐτῶν, ζήσεται εἰς τὸν αἰῶνα· [271] ὅτι ἡμ(ε)ῖς μὲν καταβαίνομεν εἰς τὸ ὕδωρ γέμοντες ἁμαρτιῶν ϗ ῥύπῃ, ϗ ἀναβαίνομεν καρποφοροῦντες ἐν τῇ καρδίᾳ, ϗ τὸν φόβον ϗ τὴν ἐλπίδα [272] εἰς τὸν Ἰησοῦν ἐν τῷ πνεύματι ἔχοντες. ʽΚαὶ ὃς ἂν φάγῃ ἀπὸ τούτων, ζήσεται εἰς τὸν αἰῶνα.ʼ Τοῦτο λέγει ὃς ἄν, φησιν, ἀκούσῃ τούτων λαλημένων, ϗ πιστεύσει ζήσεται εἰς τὸν αἰῶνα. ʽΟμοίως [273] πάλιν περὶ τοῦ ςαυροῦ ὁρίζει ἐν ἄλλῳ προφήτῃ λέγων ὅτι· ϗ πότε ταῦτα συντελεσθήσεται; λέγει Κύριος· ὅταν ξύλον κλιθῇ ϗ ἀναςῇ, ϗ ὅταν ἐκ ξύλου αἷμα ςάξῃ.ʼ Ἔχεις πάλιν περὶ τοῦ ςαυροῦ, ϗ

267 Κ. Ο. ʽἐξερεύσηται Μ. ʽἐξελεύσηται. Γ. ʽἐξελεύσεται. 268 ΠτΧ. ʽἔςαι ϗ εἰς ἐπιςροφὴν ϗ ἐλπίδα πολλοῖς. 269 Γ. ἕταιρος. 270 ΠτΧ. ʽὃ ϗ δόξῃ δοξάζει. 271 Κ. αἰῶνα· ʽϗ τί τοῦτο; ὅτι ἡμεῖς μὲν καταβαιν. (Γ. ʽκαταβένομεν) Λ.ʽ Τί δὲ τοῦτο; ὅτι ἡμεῖς μέν. Ο. ʽτοῦτο δὲ λέγει, ὅτι ἡμεῖς μέν. 272 Γ. ʽἐλπίδαν' Ι.Ο. ʽϗ τὴν ἐλπίδα εἰς τὸν Κύριον ἡμῶν, τὸν Ἰησοῦν ἔχοντες ἐν πνεύματι.ʼ 273 Ι.Κ ὁμ. ἐλ.

τοῦ σταυροῦσθαι[274] μέλλοντος. Λέγει δὲ πάλιν[275] τῷ Μωϋσῇ, πολεμημένη τοῦ Ἰσραὴλ ὑπὸ τῶν ἀλλοφύλων. Καὶ ἵνα ὑπομνήσῃ[276] αὐτοὺς πολεμημένης, ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθησαν εἰς θάνατον, λέγει εἰς τὴν καρδίαν Μωϋσέως τὸ πνεῦμα[277] ἵνα ποιήσῃ τύπον τοῦ σταυροῦ[278] τοῦ μέλλοντος πάσχειν· ὅτι, ἐὰν μή, φησιν, ἐλπίσωσιν ἐπ' αὐτῷ εἰς τὸν αἰῶνα πολεμηθήσονται. Τίθησιν οὖν Μωϋσῆς ἓν ἐφ' ἓν ὅπλον ἐν μέσῳ τῆς πυγμῆς[279] ϗ ὑψηλότερος σταθ(ε)ὶς πάντων ἐξέτ(ε)ινε τὰς χεῖρας[280] ϗ οὕτως πάλιν ἐνίκα ὁ Ἰσραήλ·[281] εἶτα ὁπόταν καθ(ε)ῖλεν ἐθανατοῦντο.[282] Πρὸς τί;[283] ἵνα γνῶσιν ὅτι οὐ δύναν-

---

274 Κ.Ο. ʻ ϗ τοῦ ἐπ' αὐτοῦ σταυροῦσθαι μέλλοντος. Ι. Π. ʻ ϗ τοῦ ἐν αὐτῷ σταυροθησομένη. 275 Ι Ο. ʻπ. ὁ Κύριος ἐν τῇ ἐξόδῳ τῷ Μωϋσῇ 276 Γ. ʻὑπομνήσει. 277 Κ.Π. ʻ Πνεῦμα ἅγιον Κυρίου. 278 Ι.Κ.Ο.Π. ʻἵνα ποιήσῃ σύμβολον σταυροῦ ϗ τοῦ ἐπ' αὐτοῦ μέλλοντος πάσχειν. 279 Κ.Π. ʻ τοῦ ἐκ λίθου πήγματος. 280 Κ.Π. ʻ ἐξέτεινε τὰς χεῖρας ἐπὶ τῶν ὅπλων. Ι.Δ. ʻ τίθησιν οὖν Μωϋσῆς ἓν ἐφ' ἓν ὅπλον ἐν μέσῳ τῆς λιθήνης πηγμῆς ϗ τὰ ἄκρα αὐτῶν κρατήσας, ϗ μετεωρησθεὶς πάντων, ἐπὶ λίθου ὑψηλοῦ σταθεὶς, ἐξέτεινε τὰς χεῖρας σφίγγων ἐν ταῖς πυγμαῖς αὐτοῦ τὰ ἄκρα τοῦ σταυροῦ ϗ ὑπὸ Ἀαρὼν ϗ Ὢρ στηριζόμενος. 281 Ι Κ. ʻ ὁ Ἰσραὴλ τὸν Ἀμαλήκ. 282 Ι.Κ. ʻ ἐθανατοῦτο ὁ Ἰσραήλ. 283 Ι.Κ. ʻ πρὸς τί οὖν τοῦτο;

ται σωθῆναι, ἐὰν μὴ ἐπ' αὐτῷ ἐλπίσωσιν. Καὶ πάλιν ἐν ἑτέρῳ προφήτῃ λέγει· ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖρας μου πρὸς λαὸν ἀπ(ε)ιθῆ[284] ἢ ἀντιλέγοντα ὁδῷ δικαίᾳ μου.' Πάλιν Μωϋσῆς ποιεῖ τύπον τοῦ Ἰησοῦ, ὅτι δ(ε)ῖ αὐτὸν παθεῖν,[285] ἢ αὐτὸς ζωοποιήσει. ὃν δόξουσιν [286] ἀπολωλεκέναι ἐν σημ(ε)ίῳ. πίπτοντος τοῦ Ἰσραήλ. Ἐποίησεν γὰρ Κύριος πάντα ὄφιν δάκν(ε)ιν αὐτούς, ἢ ἀπέθνησκον· ἐπ(ε)ιδὴ ἡ παράβασις τοῦ διὰ ὄφεως ἐν Εὔᾳ ἐγένετο· ἵνα ἐλέγξῃ αὐτούς, ὅτι διὰ τὴν παράβασιν αὐτῶν εἰς θλῖψιν θανάτου[287] παραδοθήσονται. Πέρας γέ τοι αὐτὸς Μωϋσῆς ἐντ(ε)ιλάμενος, οὐκ ἔστιν[288] ὑμῖν οὔτε χωνευτὸν. οὔτε γλυπτὸν εἰς θεὸν ὑμῖν αὐτὸς[289] ποιεῖ, ἵνα τύπον τοῦ Ἰησοῦ δείξῃ.[290] Ποιεῖ οὖν Μωϋσῆς[291] χαλκοῦν ὄφιν, ἢ τίθησι ἐνδόξως,[292] ἢ κηρύγματι καλ(ε)ῖ τὸν λαόν. Ἐλθόντες οὖν ἐπὶ τὸ αὐτὸ, ἐδέοντο Μωσέως,[293] ἵνα περὶ[294]

---

284 Π.Ο.' ἀπειθοῦντα 285 Ι Κ.Ο.Π: 'Παλιν δὲ - ὅτι δεῖ αὐτὸν παθεῖν ἐν τῷ σταυρῷ ἢ ζωοποιήσει δι' αὐτοῦ αὐτὸς ὃν δοξάζουσιν ἀπολωλεκέναι ἐν σημείῳ, τὸν ἄνθρωπον .286 Λ. ' ὃν ἂν δόξωσιν. 287 Ι.Κ. ' ἐν θλίψεσι θανάτου 288 Ι.Π. ' οὐκ ἔσται οὐ μὴ ὑμῖν χωνευτὸν οὐδὲν οὐδὲ γλυπτὸν οὐδὲν εἰς θεὸν ὑμῖν. 289 Κ Π. 'αὐτὸς ποιεῖ ὁ Μωϋσῆς. 290 ΠτΧ. ' καταδείξῃ. Γ. ' δείξει. 291 Π τ Χ ' ποιεῖ οὖν ὁ Μωϋσῆς. 292 ΠτΧ. ' ἢ τίθησιν ἐν σταυρῷ ἢ αἴρει ἐνδόξως αὐτὸν ἢ κηρύγματι καλεῖ τὸν λαόν. 293 ΠτΧ·

αὐτῶν ἀνενέγκῃ δέησιν περὶ τῆς ἰάσεως αὐτῶν. Εἶπεν[295] δὲ Μωσῆς πρὸς αὐτούς· ὅταν, φησίν, δηχθῇ τις ὑμῶν ἐλθέτω ἐπὶ τὸν ὄφιν τὸν ἐπὶ τοῦ ξύλη ἐπικείμενον, ϗ ἐλπισάτω πιστεύσας, ὅτι αὐτὸς ὢν νεκρὸς δύναται ζωοποιῆσαι· ϗ παραχρῆμα σωθήσεται.' Καὶ οὕτως ἐποίην. Ἔχεις πάλιν ϗ ἐν τούτοις[296] τὴν δόξαν τοῦ Ἰησοῦ, ὅτι ἐν αὐτῷ πάντα, ϗ εἰς αὐτόν. Τί λέγει;[297] πάλιν Μωϋσῆς Ἰησοῦ υἱῷ Ναυῆ, ἐπιθε(ὶ)ς[298] αὐτῷ τοῦτο τὸ ὄνομα, ὄντι προφήτῃ, ἵνα μόνον ἀκούσῃ[299] πᾶς ὁ λαὸς, ὅτι ὁ πατὴρ σῃ πάντα φανεροῖ περὶ τοῦ υἱοῦ Ἰησοῦ. Λέγει οὖν Μωϋσῆς Ἰησοῦ[300] υἱῷ Ναυῆ (ἐπιθεὶς τοῦτο τὸ ὄνομα, ὁπότε ἔπεμπεν αὐτὸν κατάσκοπον τῆς γῆς·) 'λάβε βιβλίον εἰς τὰς χ(ε)ῖρας σῃ ϗ γράψον[301], ἃ λέγει Κύριος· ὅτι ἐκκόψεις[302] ἐκ ῥιζῶν τὸν

'Μωϋσέως. 294 ΠτΧ. 'ὑπὲρ αὐτῶν. 295 ΠτΧ. 'εἶπε δὲ τότε Μωϋσῆς πρὸς αὐτούς. 296 Κ. 'ἐν τοῖς δὲ. 297 Κ.Π. 'τί δὲ λέγει; 298 Γ. 'ἐπίθες. 299 Ὁ τῶν Ἰβήρων κώδηξ ἄλλως ἔχει ἐνταῦθα, ὡς ἑξῆς: 'ὅτι ὁ πατὴρ τοῦ Ἰησοῦ πάντα φανεροῖ καθαρῶς περὶ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Κ.Π. 'ὅτι ὁ πατὴρ αὐτοῦ πάντα φανεροῖ περὶ τοῦ μονογενοῦς αὐτοῦ Ἰησοῦ. 300 ΠτΧ. 'Λέγει οὖν Μωϋσῆς τῷ, υἱῷ τοῦ Ναυῆ Ἰησοῦ (ἐπιθεὶς τοῦτο τὸ ὄνομα (Λ. τὸ τοιοῦτον ὄνομα) ὁπότε (Γ. ἀπότε ἔπεμπεν αὐτὸν κατάσκοπον τῆς γῆς Χαναάν. 301 ΠτΧ. 'κατέγραφον πάντα ἃ ἔλεγε Κύριος. 302 Κ. 'ὅτι ἐγκόψαι ἐκ

οἶκον πάντα τοῦ Ἀμαλὴκ ὁ υἱὸς τοῦ Θεοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.' Ἴδε,[303] πάλιν Ἰησοῦς οὐχὶ υἱὸς ἀνθρώπȣ, ἀλλὰ υἱὸς τοῦ Θεοῦ, τύπῳ δὲ ἐν σαρκὶ φανερωθείς.[304] Ἐπ(ε)ὶ οὖν μέλλȣσιν [λέγειν] ὅτι Χριϛὸς υἱὸς Δαυὶδ ἐϛιν.[305] αὐτὸς προφητεύει Δαυὶδ φοβούμενος ϗ συνιὼν τὴν πλάνην τῶν ἁμαρτωλῶν· εἶπεν Κύριος τῷ Κυρίῳ μȣ· κάθȣ ἐκ δεξιῶν μȣ ἕως ἂν θῶ τοὺς ἐχθρούς σȣ ὑποπόδιον τῶν ποδῶν σȣ.' Καὶ πάλιν λέγει οὕτως Ἡσαΐας· εἶπεν Κύριος τῷ Κυρίῳ μȣ. οὗ ἐκράτησεν τῆς δεξιᾶς αὐτοῦ ἐπακοῦσαι αὐτοῦ ἔθνη ϗ ἰσχὺν βασιλέων διαῤῥήξω.[306] Ἴδε πῶς Δαυὶδ λέγει αὐτὸν Κύριον ϗ υἱὸν Θεοῦ.[307] Ἴδωμεν δὲ

ῥιζῶν εἰς τέλος ἅπαντα τὸν οἶκον τοῦ Ἀμαλήκ. I.O 'ὅτι ἀλοιφῇ ἐξαλείψει τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν ὁ Υἱὸς τοῦ Θεοῦ. κτλ. 303 K.O. ' Ἴδετε (Εἶδε) οὖν πάλιν. 304 I.Λ.Π. 'οὐ μόνον τύπῳ, ἀλλὰ ϗ ἐν σαρκὶ φανερωθείς. K. ἀποκαλυφθείς. 305 O. ' Ἐπεὶ οὖν οἱ μέλλοντες μέλλȣσι λέγειν, (Γ. ἄνευ τοῦ 'λέγειν) ὅτι ὁ Χριϛὸς υἱός ἐϛι Δαυίδ, φησὶ Κύριος διὰ τοῦ αὐτοῦ προφήτου Δαυίδ, τοῦ φοβȣμένȣ ϗ συνιόντος τὴν πλάνην τῶν ἁμαρτωλῶν τάδε. 306 I.K.Π. 'Εἶπε Κύριος ὁ Θεὸς τῷ Χριϛῷ μȣ Κυρίῳ. οὗ ἐκράτησα τῆς δεξιᾶς αὐτοῦ. ἐπακοῦσαι (Γ. ἐπακοῦσαι) ἔμπροσθεν αὐτοῦ ἔθνη, ϗ ἰσχὺν (O. 'κράτος) βασιλέων διαῤῥήξω. 307 ἐν οὐδενὶ τῶν χειρογράφων ἐπαναλαμβάνεται τὸ ῥῆμα λέγει', ἐν τῷ τοῦ Γασπάρεως δὲ μόνον.

εἰ οὗτος ὁ λαὸς κληρονομεῖ, [ἢ] ὁ πρῶτος. ϗ [εἰ] [308] ἡ διαθήκη εἰς ἡμᾶς. ἢ εἰς ἐκείνης. Ἀκούσατε οὖν [309] περὶ τοῦ λαοῦ τί λέγει ἡ γραφή. Ἐδεῖτο δὲ Ἰσ(α)ὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι ς(ε)ῖρα ἦν· ϗ συνέλαβεν εἶτα. Ἐξῆλθεν Ῥεβέκκα πυθέσθαι παρὰ Κυρίε, ϗ εἶπε Κύριος πρὸς αὐτήν: ' δύο ἔθνη ἐν τῇ γαςρί σε, ϗ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σε. ϗ ὑπερέξει λαὸς λαοῦ [310] ϗ ὁ μείζων δελεύσει τῷ ἐλάσσωνι.' Αἰσθάνεσθαι ὀφ(ε)ίλετε, [311] τίς ὁ Ἰσ(α)άκ, ϗ τίς ἡ Ῥεβέκκα, ϗ ἐπὶ τίνων δέδ(ε)ιχεν. ὅτι μείζων ὁ λαὸς οὗ-

---

308 Γ. ' Εἴδωμεν δὲ εἰ οὗτος ὁ λαὸς κληρονομεῖ. ὁ πρῶτος ϗ ἡ διαθήκη κτλ. Αἱ δὲ ἐν τοῖς ὀγκίνοις ἐγκεκλεισμέναι λέξεις ἐλήφθησαν ἐκ τοῦ Καρακαλινοῦ χειρογράφε· ὅτι ἐν τῷ τοῦ Γασπάρεως καίτοι ἀναγκαῖαι οὐχ ὑπάρχεσιν. Ἐν δὲ τῷ Λαυριωτικῷ ἔχει οὕτως: ' 'Αλλ' εἴδωμεν ἐάν περ οὗτος ὁ λαὸς κληρονομῇ πρῶτος τὴν διαθήκην. Τὸ δὲ τοῦ Ὀνησίμε τάδε γράφει: ' Ἴδωμεν δὲ εἰ οὗτος ὁ λαός ἐςιν ὁ κληρονόμος ἢ ὁ πρῶτος, ϗ εἰ ἡ διαθήκη εἰς ἡμᾶς. ἢ εἰς ἐκ. Π. ' κληρονόμος εἰ ὁ. 309 Ον. ' Ἀκούσαντες οὖν νῦν. 310 Τὸ Ἐσφαγμένε χειρ. (σημειοῖ ὁ Ὀνήσιμος) ἔχει ἐν τῷ μέρει τούτῳ ὧδε: ' ϗ ἐπορεύθη Ῥεββέκα πυθέσθαι παρὰ Κυρίε. ϗ εἶπε Κύριος τῇ γυναικί. δύω ἔθνη ἐν τῇ γαςρί σε εἰσί. ϗ δύω λαοὶ ἐν τῇ κοιλίᾳ σε διαςαλήσονται. ϗ λαὸς λαοῦ ὑπερέξει. τότε ϗ ὁ μείζων (Γ. μεῖζον) δελεύσει τῷ ἐλάσσονι.' Ι.Κ. ' ἐξῆλθε δὲ Ῥεββ. κτλ. 311 Γ. 'ὀφίλεται.

τος, ἢ ἐκεῖνος.[312] Καὶ ἐν ἄλλῃ προφητ(ε)ίᾳ λέγει φανερώτερον ὁ Ἰακὼβ πρὸς Ἰωσὴφ τὸν υἱὸν αὐτοῦ,[313] λέγων· ‘Ἰδού, οὐκ ἐστέρησέν με[314] Κύριος τοῦ προσώπου σου· προσάγαγέ μοι τοὺς υἱούς σου, ἵνα εὐλογήσω αὐτούς·’ Καὶ προσήγαγεν Ἰωσὴφ Ἐφθαὶ καὶ Μανασσῆ,[315] θέλων τὸν Ἐφραῒμ ἵνα εὐλογήσῃ, ὅτι πρεσβύτερος ἦν· ὁ γὰρ Ἰωσὴφ προσήγαγεν εἰς τὴν δεξιὰν χεῖρα[316] τοῦ πατρὸς Ἰακώβ. Εἶδεν δὲ Ἰακὼβ τύπον τῷ πνεύματι τοῦ λαοῦ τοῦ μεταξύ.[317] Καὶ τί λέγει; Καὶ ἐποίησεν Ἰακὼβ ἐναλλὰξ[318] τὰς

---

312 Κ.Ο. ‘οὗτος ἐκεῖνη. 313 Π.Μ. ‘λέγει φανερώτερον Ἰακὼβ ὁ πατὴρ ἡμῶν τῷ αὐτοῦ υἱῷ Ἰωσήπῳ. 314 Γ. ‘ἐστέρεσέν με. 1 Κ.Μ. ‘ Ἰδού, τοῦ προσώπου σου, ὦ τέκνον, οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ Θεὸς καὶ τὸ σπέρμα σου. Προσάγαγέ μοι τοίνυν τοὺς υἱούς σου. 315 Ι.Κ. ‘ Καὶ προσήγαγεν Ἰώσηπος τοὺς δύω παῖδας αὐτοῦ τόν τε Ἐφραῒμ καὶ τὸν Μανασσῆ, θέλων δὲ Ἰώσηπος, ἵνα εὐλογηθῇ Μανασσῆς πρῶτος, ὅτι πρεσβύτερος ἦν· προσήγαγεν αὐτὸν εἰς τὴν δεξιὰν χεῖρα τοῦ πατρὸς Ἰακώβ.’ Ι. Α.Π. ‘θέλων δὲ Ἰακὼβ ἵνα εὐλογήσῃ πρώτως Ἐφραῒμ τὸν νεώτερον υἱὸν τοῦ παιδὸς αὐτοῦ Ἰωσήπου, ὁ δὲ Ἰώσηπος θέλων ἵνα εὐλογηθῇ Μανασσῆς πρώτως ἀντὶ Ἐφραῒμ ἔλαβε Μανασσῆν, ὅτι οὗτος ἦν πρεσβύτερος, καὶ προσήγαγεν αὐτὸν εἰς τὴν δεξιὰν χεῖρα τοῦ πατρὸς Ἰακώβ. 316 Γ. ‘χεῖραν. 317 Γ. ‘μετοξύ. 318 Π. ἐναλλάξας.

χ(ε)ῖρας αὐτοῦ, ϗ ἐπέθηκεν τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ[319] τοῦ δευτέρυ ϗ νεωτέρυ, ϗ εὐλόγησεν αὐτόν. Καὶ εἶπεν Ἰωσὴφ πρὸς Ἰακώβ. ‘Μετάθες συ τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν Ἐφραῒμ ὅτι πρωτότοκός μυ υἱός ἐςιν.’ Καὶ εἶπεν Ἰακὼβ πρὸς Ἰωσήφ·[320] ‘οἶδα τέκνον, οἶδα· ἀλλ’ ὁ μ(ε)ίζων δυλεύσει τῷ ἐλάσσονι, ϗ οὗτος δὲ εὐλογηθήσεται.’ Βλέπετε, ἐπὶ τίνων ἔοικεν[321] τὸν λαὸν τοῦτον εἶναι ϗ τῆς διαθήκης κληρονόμον. Εἰ οὖν ἔτι ϗ διὰ τοῦ Ἀβραὰμ ἐμνήσθη ἀπέχομεν τὸ τέλ(ε)ιον τῆς γνώσεως ἡμῶν. Τί οὖν λέγει τῷ Ἀβραὰμ, ὅτε μόνος πιςεύσας ἐτέθη εἰς δικαιοσύνην; ‘Ἰδοὺ τέθ(ε)ικά σε, Ἀβραὰμ, πατέρα[322] ἐθνῶν τῶν πιςευόντων δι’ ἀκροβυςίαν[323] τῷ Θεῷ. Ναὶ ἀλλὰ ἴδωμεν[*] εἰ ἡ διαθήκη, ἣν ὤμοσε δοῦναι τοῖς πατράσιν δοῦναι

---

319 ΠτΧ. ‘Καὶ ἐπέθηκε τὴν μὲν δεξιὰν ἐπὶ τὴν κεφαλὴν Ἐφραῒμ τοῦ δευτέρου καὶ νεωτέρου, ϗ τὴν ἀριςερὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ τοῦ πρεσβυτέρου, ϗ εὐλόγησεν αὐτούς. Βαρὺ δὲ κατεφάνη τοῦτο Ἰωσήπῳ· ϗ εἶπεν τῷ πατρὶ αὐτοῦ Ἰακώβ· μετάθες συ τὴν δεξιάν. ὦ πάτερ, ἐπὶ τὴν κεφαλὴν Μανασσῆ ὅτι πρωτότοκος υἱός ἐςιν ὁ Μανασσῆς 320 Γ. ‘Καὶ εἶπεν Ἰακὼβ πρὸς Ἰακώβ. 321 Μ· Η ‘τέθηκε. 322 Μ.Π. ‘πατέρα πολλῶν ἐθνῶν. 323 Ι.Κ.Ο ‘δι’ ἀκροβυςίας. 324 Κ. ‘Ναὶ· ἀλλ’ ἴδωμεν εἰ ἡ διαθήκη ἣν ὤμοσε τοῖς πατράσι δοῦναι τῷ λαῷ ἐδόθη. Ἡ δὲ διαθήκη ἐδόθη αὐτοῖς· αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι.

τῷ λαῷ, εἰ δέδωκεν. Δέδωκεν αὐτοὶ δὲ οὐκ ἐγίνοντο ἄξιοι λαβεῖν διὰ τὰς ἁμαρτίας αὐτῶν. Λέγει γὰρ ὁ προφήτης. ‹ Κ ἦν Μωϋσῆς νηστεύων ἐν ὄρ(ε)ι Σινᾷ. τοῦ λαβεῖν τὴν διαθήκην Κυρίυ πρὸς τὸν λαὸν, ἡμέρας τεσσαράκοντα* Κ νύκτας Μ'. Καὶ ἔλαβεν Μωϋσῆς παρὰ τοῦ Κυρίυ τὰς δύο πλάκας τὰς γεγραμμέναη τῷ δακτύλῳ τῆς χειρὸς τοῦ Κυρίυ ἐν πνεύματι· Κ λαβὼν Μωσῆς κατέφερεν πρὸς τὸν λαὸν δοῦναι. Καὶ εἶπε Κύριος πρὸς Μωσῆν· ‹ Μωσῆ, Μωσῆ, κατάβηθι τὸ τάχος. ὁ λαός σου, ὃν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἠνόμησεν.' Καὶ συνῆκεν Μωσῆς ὅτι ἐποίησαν ἑαυτοῖς χωνεύματα, Κ ἔρριψεν [325] ἐκ τῶν χ(ε)ιρῶν [τὰς πλάκας][326] Κ συνετρίβησαν αἱ πλάκες τῆς διαθήκης Κυρίυ. Μωσῆς μὲν ἔλαβεν, αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι. Πῶς δὲ ἡμ(ε)ῖς ἐλάβομεν, μάθετε· Μωσῆς θεράπων ὢν ἔλαβεν, αὐτὸς δὲ ὁ Κύριος ἡμῖν ἔδωκεν, εἰς λαὸν κληρονομίας, δι' ἡμᾶς ὑπομ(ε)ίνας· ἐφανερώθη δὲ, ἵνα [327] κἀκ(ε)ῖνοι τελ(ε)ιωθῶσιν τοῖς ἁμαρτήμασιν Κ ἡμ(ε)ῖς διὰ τοῦ κληρονομοῦντος διαθήκην Κυρίυ Ἰησοῦ [328] λάβωμεν, ὃς εἰς τοῦτο ἡ-

---

Ο. ‹ Ἀλλ' ἴδωμεν, ὦ τέκνα ἀγαπητὰ, εἰ τὴν διαθήκην, ἣν ὤμοσε τοῖς πατράσιν ἡμῶν δοῦναι τῷ λαῷ αὐτῶν δέδωκε. Δέδωκεν ἐν καιρῷ· αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι λαβεῖν αὐτὴν διὰ' κτλ. 325 Γ. ‹ ἔρρηψεν. 326 Οὕτως ἐν πᾶσι τοῖς ἀπογράφοις πλὴν τοῦ τοῦ Γασπάρεως. 327 Γ. ‹ εἵνεκα. 328 Κ.Π. ‹ Κυρίου Χριστοῦ.' * Γ. ‹ τεσσεράκοντα,

τοιμάσθη, ἵνα αὐτὸς φαν(ε)ὶς, τὰς ἤδη δεδαπανημένας ἡμῶν καρδίας τῷ θανάτῳ ϗ παραδιδομένας τῇ τῆς πλάνης ἀνομίᾳ λυτρωσάμενος ἐκ τοῦ σκότους, διάθηται ἐν ἡμῖν διαθήκην λόγῳ. Γέγραπται γὰρ, πῶς αὐτῷ ὁ πατὴρ ἐντέλλεται. λυτρωσάμενον ἡμᾶς[329] ἐκ τοῦ σκότους, ἑαυτῷ ἡτοίμασε λαὸν ἅγιον. Λέγει οὖν ὁ προφήτης[330] ἐγὼ Κύριος ὁ Θεός σȣ, ἐκάλεσά σε ἐν δικαιοσύνῃ ϗ κρατήσω τῆς [331] χ(ε)ιρός σȣ. ϗ ἐνισχύσω σε ϗ ἔδωκά σε εἰς διαθήκην γένȣς εἰς φῶς ἐθνῶν, ἀνοῖξαι[332] ὀφθαλμοὺς τυφλῶν ϗ ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένȣς[333] ϗ ἐξ οἴκȣ φυλακῆς καθημένȣς[334] ἐν σκότ(ε)ι. Γινώσκομεν οὖν, πόθεν ἐλυτρώθημεν. Πάλιν[335] ὁ προφήτης λέγει· ‛πνεῦμα Κυρίȣ ἐπ' ἐμὲ, οὗ ἕνεκεν[336] ἔχρισέν με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με, ἰάσασθαι[337] τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, ϗ τυφλοῖς ἀνάβλεψιν,

329 ΠτΧ. ‛ λυτρωσάμενος ἡμᾶς. 330 Φησὶ τὸ Ἑρμη-νευτικὸν χειρ. παρὰ τῷ Γάσπαρι τάδε: ‛ἑτοιμᾶσαι ἑαυτῷ λαὸν περιούσιον. Λέγει οὖν ὁ προφήτης Ἡσαΐας· Ἐγὼ Κύριος ὁ Θεός σου' κτλ. 331 Ιϛ. ‛ Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ καλέσας σε ἐν δικαιοσύνῃ, ἐγὼ κρατήσω σε τῆς χειρός σȣ, ἐγὼ δέδωκά σε εἰς διαθήκην γένȣς. 332 Γ. ‛ ἀνοῖξε. 333 Μ. ‛ δεδεμένȣς. 334 Ι.Κ. ‛ ϗ καθημένȣς. 335 Κ Ο. ‛ ἰδοὺ πάλιν ὁ προφήτης λέγει. 336 Ο.Π. ‛ ἕνεκα. Γ. εἵνεκεν. 337 Γ. ‛ ἰάσασθαι.

καλέσαι[338] ἐνιαυτὸν Κυρίȣ δεκτὸν ϗ ἡμέραν ἀνταποδόσεως παρακαλέσαι[339] πάντας τοὺς πενθοῦντας.' Πάλιν ὁ προφήτης λέγει·[340] 'ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναι [σε][341] εἰς σωτηρίαν ἕως ἐσχάτȣ τῆς γῆς. Οὕτως λέγει Κύριος ὁ λυτρωσάμενός σε Θεὸς 'Ισραήλ.' "Οτι[342] οὖν ϗ περὶ τοῦ σαββάτου γέγραπται ἐν τοῖς δέκα λόγοις, ἐν οἷς ἐλάλησεν ἐν τῷ ὄρ(ει) Σινᾶ πρὸς Μωσῆν κατὰ πρόσωπον· 'ϗ ἁγιάσατε[343] τὸ σάββατον Κυρίȣ χερσὶν καθαραῖς ϗ καρδίᾳ καθαρᾷ.' Καὶ ἐν ἑτέρῳ[344] λέγει· 'ἐὰν φυλάξωσιν οἱ υἱοί μȣ[345] τὸ σάββατον, τότε ἐπιθήσω τὸ ἔλεός μȣ ἐπ' αὐτούς.' Τὸ σάββατον λέγει[347] ἐν ἀρχῇ τῆς κτίσεως·[348] 'ϗ ἐποίησεν ὁ Θεὸς ἐν ΞΣ ἡμέραις τὰ ἔργα τῶν χ(ε)ιρῶν αὐτοῦ ϗ συνετέλεσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. ϗ κατέπαυσεν αὐτήν, ϗ ἡγίασεν αὐτήν.' Προσέχετε

---

338 Γ. 'καλέσει. 339 Γ. παρακαλέσει. 340 Κ.Ο.Π. 'Λέγει δὲ πάλιν ὁ προφήτης· 'Ιδοὺ τέθ. 341 Γ. 'τοῦ εἶναι. ΠτΧ. τοῦ εἶναί σε. 342 Κ. 'ὅτι δὲ ϗ περὶ τοῦ σαββάτȣ γέγραπται ἐν ταῖς δέκα ἐντολαῖς, ἐν αἷς ἐλάλησεν ἐν τῷ ὄρει τοῦ Σινᾶ τῷ Μωϋσῇ κατὰ πρόσωπον αὐτοῦ ἐκ τῶν ἐντεῦθεν δῆλον. Ο. '"Ετι δέ. Ι. '"Ετι οὖν. 343 Γ. 'ἁγιάσαται 344 Γ. 'ἑταίρῳ. 345 Π. 'οἱ υἱοί 'Ισραὴλ πᾶν σάββατον.' Κ. 'οἱ υἱοὶ 'Ισραὴλ οἱ υἱοί μου τὸ σάββατον. 346 Ι.Κ. 'ἐπ' αὐταῖς ϗ ἁγιάσω αὐτούς. 347 Π. 'ἀναγινώσκεται. 348 Γ. 'κτήσεως. 349 ΠτΧ. 'Καὶ συνετέλεσεν ὁ Θεὸς

τέκνα, τί λέγει τὸ 'συνετέλεσεν ἐν ἓξ ἡμέραις' [349] Τοῦτο λέγει, ὅτι ἐν ἑξακισχιλίοις ἔτεσιν συντελέσ(ε)ι Κύριος τὰ σύμπαντα' [350] ἡ γὰρ ἡμέρα παρ' αὐτῷ σημαίν(ε)ι. χίλια ἔτη αὐτὸς δέ μοι μαρτυρ(ε)ῖ. [351] λέγων' 'ἰδοὺ, ἡμέρα Κυρίυ ἔσται ὡς χίλια ἔτη.' Οὐκοῦν, τέκνα, ἐν ἓξ ἡμέραις ἐν τοῖς ἑξακισχιλίοις ἔτεσιν συντελεσθήσεται τὰ σύμπαντα. [352] Καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ΕΖ.' [353] Τοῦτο λέ-

---

ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε ꙃ κατέπαυσε τῇ (Κ. ἐν τῇ) ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, ꙃ ἡγίασεν αὐτήν.' 350 Ο.Π. 'Τοῦτο δηλοῖ. ὅτι ἐν Ζ,ς. (Γ 'σύνπ.) 351 Ι.Κ. 'συμμαρτυρεῖ δέ μοι τῷ λόγῳ ꙃ Δαυὶδ αὐτὸς λέγων ἰδού. Λ.Π. 'χίλια ἔτη. Μαρτυρεῖ γάρ μοι Δαυὶδ λέγων' ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου (Ο. Κύριε, ὡς ἡ ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε ꙃ φυλακῇ ἐν νυκτί. 352 Ι.Π. 'συντελέσει Κύριος ὁ Θεὸς τὰ πάντα. (Γ 'σύνπ.) Κ.Μ.Ο. 'συντελεσθήσεται τὸ πᾶν. Λ.' ἀπογεννηθήσεται, τὰ πάντα. 353 Γ.' ΕΖ' τὰ δύω γράμματα ταῦτά ἐστιν ἀμφότερα ἀριθμοῦ σημαντικὰ τοῦ ἑβδόμυ ἀριθμοῦ' ꙃ γὰρ διὰ μὲν τοῦ πρώτυ γράμματος, τοῦ Ε, σημαίνεται ἡ λέξις ἑ β δ ό μ η· διὰ δὲ τοῦ δευτέρυ' τοῦ Ζ, χαρακτηρίζεται ὁριστικῶς ὁ νοούμενος ἀριθμός Τὸ δὲ σύστημα τῆς γραφῆς τοῦτο φυλάττεται ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς τακτικοῖς ἀριθμοῖς. Τὰ δὲ λοιπὰ τῶν χειρογρ: ὁλοσχερῶς περιέχυσι

γει· ὅταν ἐλθὼν ὁ υἱὸς αὐτοῦ καταργήσῃ τὸν καιρὸν[354] ϗ κριν(ε)ῖ τοὺς ἀσεβεῖς, ϗ ἀλλάξει τὸν ἥλιον ϗ τοὺς ἀςέρας ϗ τὴν σελήνην, τότε καλῶς καταπαύσεται[355] τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. Πέρας γέ τοι λέγει· ʻ ἁγιάσεις αὐτὴν χερσὶν καθαραῖς ϗ καρδίᾳ καθαρᾷ. ʼ Εἰ οὖν, ἣν ὁ Θεὸς ἡμέραν ἡγίασεν,[356] νῦν τὶς ͵δύναται ἁγιάσαι, [εἰ μὴ] καθαρὸς[357] ὢν τῇ καρδίᾳ ἐν πᾶσιν; πεπλανήμεθα.[358] Εἰ δὲ οὐ(ν)[359] ἄρα τότε καλῶς καταπαυόμενοι, ἁγιάσωμεν αὐτήν, ὅτε δυνησόμεθα αὐτοὶ δικαιωθέντες ϗ ἀπολαβόντες[360] τὴν ἐπαγγελίαν,[361] μηκέτι οὔσης τῆς ἀνομίας, καινῶν δὲ γεγονότων πάντων ὑπὸ τοῦ Κυρίȣ[362] οὐ δυνησόμεθα αὐτὴν

τὸν ἀριθμὸν ΕΒΔΟΜΗι. 354 Γ. ʻ Καταργήσει Π.Μ. ʻ Καταργήσει τὸν παρόντα καιρόν. Ι.Κ. ʻ Καταργήσῃ τὸν καιρὸν τῶν ἀνομούντων. Λ. ʻ Κατ. τὸν καιρὸν τῶν ἐργατῶν πάσης ἀνομίας· ϗ κρινεῖ αὐτούς. 355 Ι. Κ ʻ καταπαύσεται ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. 356 Κ Ο.Π. ͵καθηγίασεν. 357 Ι,Κ. ʻ ἁγιάσαι εἰ μὴ καθαρὸς ὢν τῇ καρδίᾳ ἐν πᾶσι.ʼ Λ.Μ.Ο.Π. ʻ ἁγ. καθαρὸς οὐ μὴ ὢν τῇ καρδίᾳ καθόλȣ ἐν πᾶσι. Γ. ʻ δύν. ἁγιάσαι ἐν πάλιν. 358 Λ. ʻ νῦν πεπλανήμεθα, ὦ ἀδελφοί. 359 Γ. ʻ εἰ δὲ οὐ ἄρα τότε. 360 Π. ʻ δικαιωθέντες ἀπολάβομεν. Ο. ʻ δικαιωθέντες ἀπολαύσομεν. 361 Ι.Κ.Λ. ʻ τὴν ἐπηγγελμένην ἡμῖν ἐπαγγελίαν οὐκέτι οὔσης τῆς ἀνομίας. 362 Ι.Λ. Ο. ʻ καινοθέντων πάντων. ὑπὸ τοῦ Κυρίȣ.

ἁγιάσαι·[363] αὐτοὶ γὰρ ἁγιασθέντες πρῶτον Πέρας γέ τοι λέγει αὐτοῖς, ' τὰς νεομηνίας ὑμῶν ϗ τὰ σάββατα ὑμῶν οὐκ[365] ἀνέχομαι' Ὁρᾶτε πῶς λέγει· οὐ τὰ νῦν σάββατα δεκτά,[366] ἀλλ' ὃ πεποίηκα, ἐν ᾧ καταπαύσας τὰ πάντα ἀρχὴν ἡμέρας ὀγδόης ποιήσω, ὅ ἐστιν, ἄλλη κόσμη ἀρχήν. Δι' ὃ ϗ ἄγομεν[367] τὴν ἡμέραν τὴν ὀγδόην εἰς εὐφροσύνην, ἐν ᾗ ϗ ὁ Ἰησοῦς[368] ἀνέστη ἐκ νεκρῶν. Καὶ φανερωθεὶς ἀνέβη εἰς οὐρανούς.[369] Ἔτι δὲ ϗ περὶ τοῦ ναοῦ ἐρῶ ὑμῖν, ὡς[370] πλανώμενοι οἱ ταλαίπωροι εἰς τὴν οἰκοδομὴν ἤλπισαν[371] ϗ οὐκ ἐπὶ τὸν Θεὸν αὐτῶν τὸν ποιήσαντα αὐτούς, ὡς ὄντα οἶκον Θεοῦ. Σχεδὸν, ὡς τὰ ἔθνη ἀφιέρωσαν γὰρ αὐτὸν ἐν τῷ ναῷ[372] Ἀλλὰ πῶς λέγει Κύ-

---

363 ΠτΧ. ' τότε δυνησόμεθα αὐτὴν ἁγιάσαι. Γ. ' οὐ δυνησόμεθα αὐτὴν ἁγιάσε 364 Οὕτω πάντα τὰ χειχ τὸ δὲ τοῦ Γ. ' αὐτὸς ΓΑΡ ἄγια 365 Γ ' ὐκ ἀνέχομαι.' Ὁρᾶται. 366 I.K. ' ἔτι μοι δεκτά. 367 Π. ' ἄγομεν ἡμεῖς. 368 I K A. ' ϗ ὁ Ἰησοῦς ὁ Υἱὸς ϗ Λόγος τοῦ Πατρός. M O.Π. ' ϗ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. 369 K.M. ' ἀνῆλθεν εἰς τοὺς οὐρανούς. 370 O.Π. ' ἔτι πλανώμενοι. 371 I.K. ' εἰς τὴν οἰκοδομὴν ἤλπησαν αὐτοῦ. 372 I.K. ' Καὶ γὰρ ὡς τὰ ἔθνη, ἐποίησαν ἐκεῖνοι ἀφιερώσαντες αὐτὸν ἐν τῷ ναῷ. O.Π. ' Σχεδὸν γὰρ ὡς τὰ ἔθνη, ἐποίησαν ἀφιέρωσαν γὰρ αὐτὸν ἐν τῷ ναῷ. Δ.Μ. ' Σχεδὸν, ὡς τὰ ἔθνη ἀφιέρωσαν ἑαυτὸν' κτλ. Γ. ' Σχεδὸν εἰς τὰ ἔθνη γὰρ ἀφιέ-

ριος, καταργῶν αὐτὸν, μάθετε· [373] 'Τίς ἐμέτρισεν τὸν οὐρανὸν σπιθαμῇ, ἢ [374] τὴν γῆν δρακί: [375] Οὐκ ἐγώ; ' Λέγει Κύριος· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι [376] ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ' 'Εγνώκατε [377] ὅτι ματαία ἡ ἐλπὶς ὑμῶν. [378] Πέρας γέ τοι [379] πάλιν λέγει. ' Ἰδοὺ, οἱ καθελόντες τὸν ναὸν τοῦτον, αὐτοὶ οἰκοδομήσουσιν. [380] Διὰ γὰρ [381] τὸ πολεμ(ε)ῖν αὐτοὺς καθῃρέθη ὑπὸ τῶν ἐχθρῶν· νῦν ἐ αὐτοὶ ἐ οἱ τῶν ἐχθρῶν ὑπηρέται ἀνοικοδομήσουσιν αὐτόν. Πάλιν ὡς ἔμελλεν [382] ἡ πόλις ἐ ὁ λαὸς ἐ ὁ ναὸς 'Ισραὴλ παραδίδοσθαι, ἐφανερώθη. Λέγει γὰρ ἡ γραφή. ' ἐ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἐ παραδώσει Κύριος τὰ πρόβατα τῆς νομῆς ἐ τὴν μάνδραν ἐ τὸν πύργον αὐτῶν εἰς καταφθοράν.' Καὶ ἐγένετο καθὰ ἐλάλησεν Κύριος. Ζητήσωμεν δὲ, [383] εἰ ἔστιν ναὸς Θεοῦ· Ἔστι· ὅταν αὐτὸς λέγει ποιεῖν ἐ καταρτίζειν. Γέγραπται γάρ. ' ἐ ἔσται, τῆς ἑβδομάδος συντελουμένης [384] οἰκοδομηθήσεται

ρωσαν γὰρ αὐτὸν' κτλ. 373 Γ. ' Μάθεται. 374 ΠτΧ. ' ἐ τίς τὴν γῆν. δρακί; 375 Γ. ' δρακεῖ' 376 Γ. ' οἰκοδομήσεταί μοι. 377 Γ. ' ἐγνώκαται. 378 ΠτΧ. ' αὐτῶν. 379 Μ.Π. ' μὲν τοι. 380 ΠτΧ. αὐτοὶ αὐτὸν ταχὺ οἰκοδομήσουσι. 381 Ι.Κ. ' Καὶ γὰρ διὰ τὸ πολεμεῖν. 382 Ο.Π. πάλιν ὡς ἤμελλεν ἡ τε πόλις ἐ ὁ. 383 Ι.Κ. ' Ζητήσωμεν οὖν ἤδη. 384 'Εν τῷ μέρει τούτῳ Εἰρηναῖος τίς ὑπο-

ναὸς Θεοῦ ἐνδόξως ἐπὶ τῷ ὀνόματι Κυρίȣ.' Εὑρίσκω οὖν ὅτι ἐςιν ναός. Πῶς οὖν οἰκοδομηθήσεται ἐπὶ τῷ ὀνόματι Κυρίȣ;[385] Μάθετε· προτοῦ ἡμᾶς πιςεῦσαι τῷ Θεῷ [ἦν][386] ἡμῶν τὸ κατοικητήριον τῆς καρδίας φθαρτὸν ϗ ἀσθενὲς ὡς ἀληθῶς οἰκοδομητὸς ναὸς διὰ χ(ε)ιρός. ὅτι ἦν πλήρ(ε)ης μὲν εἰδωλολατρ(ε)ίας, ϗ ἦν οἶκος δαιμονίων διὰ τὸ ποιεῖν[387] ὅσα ἦν ἐναντία τῷ Θεῷ οἰκοδομηθήσε-

---

μνηματιςὴς τῆς τοῦ Βαρνάβα ἐπιςολῆς (ἐφ' οὗ κἀγὼ τὰς πολλὰς τῶν ἑρμηνευτικῶν σημειώσεων μετέγραψα, ϗ ὃς ἤκμασεν ἐν τῷ πέμπτῳ αἰῶνι, ϗ οὗ τὸ ὄνομα ἐσημείωσα διὰ τῶν πρώτων γραμμάτων ΕΙ ἐν τῇ ὑπ' ἐμοῦ γενομένῃ ἀπογραφῇ τοῦ Γασπαρείȣ ἀπογράφȣ) ἄλλως, λέγει. ἀνέγνω τὸ χωρίον τοῦτο λέξεσιν αὐταῖς: 'οἰκοδομηθήσεται ναὸς Θεοῦ ἅγιος ἐν δόξει, μέγας ϗ ἀκατάλυτος ἐπὶ τῷ ὀνόματι Κυρίȣ.' Ὅρα δὲ σὺ ϗ τὴν περὶ τούτου ἑρμηνείαν ἐν τῇ τρίτῃ ϗ ἑπτακοσιοςῇ ἡμετέρᾳ σημειώσει.

385 I.K. 'ἐπὶ τῷ τοῦ Κυρίου ὀνόματι; 386 O.Π. 'τῷ ἀληθεῖ Θεῷ ἡμῶν ἦν τὸ κατοικητήριον τῆς καρδίας ἡμῶν. I.K. 'τῷ ἀληθεῖ Θεῷ ἦν ἡμῶν τὸ κατ. 387 Καὶ τὸ χωρίον τοῦτό, φησιν ὁ αὐτός ὑπομνηματιςὴς Εἰρηναῖος, ταῖς δὲ λέξεσιν ἀνέγνωκεν ἐν χειρογράφῳ τινὶ τοῦ β'ȣ αἰῶνος: 'ὅτι ἦν πλήρεις εἰδώλων οἶκος ϗ εἰδωλολατρείας πίςις ϗ ἐλπὶς ϗ ἐργαςήριον δαιμόνων διὰ τὸ ποιεῖν' κτλ I.K. 'ὅτι ἦν ὁ οἶκος αὐτος εἰδώλων ἔμπλεως, δαιμονίων κατα-

ται δὲ ἐπὶ τῷ ὀνόματι Κυρίυ. [388] Προσέχετε δέ. ἵνα ὁ ναὸς τοῦ Θεοῦ ἐνδόξως οἰκοδομηθῇ. Πῶς; μάθετε. Λαβόντες τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἢ ἐλπίσαντες ἐπὶ τὸ ὄνομα [Κυρίυ] [389] ἐγενόμεθα καινοί. πάλιν ἐξ ἀρχῆς κτιζόμενοι. Δι' ὃ ἐν τῷ κατοικητηρίῳ ἡμῶν ἀληθῶς ὁ Θεὸς κατοικεῖ ἐν ἡμῖν. Πῶς; [390] Ὁ λόγος αὐτοῦ τῆς πίστεως, ἡ κλῆσις τῆς ἐπαγγελίας, ἡ σοφία τῶν δικαιωμάτων, αἱ ἐντολαὶ τῆς διδαχῆς, αὐτὸς ἐν ἡμῖν προφητεύων, αὐτὸς ἐν ἡμῖν κατοικῶν· τοῖς τῷ θανάτῳ δεδυλωμένοις ἀνοίγων [391] ἡμῖν τὴν θύραν τοῦ ναοῦ. [ὅ] [392] ἐστιν στόμα, [393] μετάνοιαν διδοὺς ἡμῖν, εἰσάγει εἰς τὸν ἄφθαρτον ναόν. [394] Ὁ γὰρ ποθῶν σωθῆναι βλέπει οὐκ εἰς τὸν ἄνθρωπον, [395] ἀλλ' εἰς

φύγιον, διὰ τὸ ποιεῖν' κτλ. Ο.Π. 'ὅτι ἦμεν οὐχὶ οἶκος Θεοῦ, ἀλλ' οἶκος πλήρεις εἰδωλολατρείας, οἶκος δαιμονίων ποικίλων. Μ. 'ὅτι ἦμεν οἶκος πλήρεις εἰδωλολατρείας ἐνδυέτιμα, ἢ δαιμονίων οἰκητήριον, διὰ τὸ ποιεῖν' κτλ. 388 Τὸ τοῦ Γασ: 'οἰκοδομηθήσεται δὲ ἐπὶ τῷ ὀνόματι Κυρίυ. 'ΜΑΘΕΤΕ ΠΡΟΤΟΥ ΥΜΑΣ ΠΙΣΤΕΥΣΑΙ' Προσέχεται. Τὰς διὰ κεφαλαίων γραμμάτων λέξεις γράψας κἀγὼ ἐδήλωσα εἶτα τὸ περιττὸν αὐτῶν δι' ἰδικοῦ ἐπ' αὐτῶν σημείου. 389 Οὕτω ΠτΧ. τὸ δὲ τοῦ Γ. οὕτω; 'ἐπὶ τὸ ὄνομα ἐγενόμεθα κινοι. 390 Κ. 'ὅπως; Ι.Ο.Π. 'ὅπως ἢ ὁ λόγος αὐτοῦ τῆς πίστεως. 391 Γ. 'ἀνύγων, 392 Οὕτω τὸ τοῦ Καρ. ἢ τὸ Λ. ἢ τὸ Ἱϐ. τὸ δὲ τοῦ Ὀν. 'ὅπερ

τὸν ἐν αὐτῷ κατοικοῦντα [396] ϗ λαλοῦντα ἐπ' αὐτῷ ἐκπλησσόμενος ἐπὶ τῷ μηδέποτε, μήτε τοῦ λέγοντος τὰ ῥήματα ἀκηκοέναι ἐκ τοῦ ςόματος, μήτε αὐτός ποτε ἐπιτεθυμηκέναι ἀκούειν. Τοῦτό ἐςιν πνευματικὸς ναὸς οἰκοδομούμενος τῷ Κυρίῳ. Ἐφ ὅσον ἦν ἐν δυνατῷ ϗ ἁπλότητι δηλῶσαι [398] ὑμῖν, ἐλπίζει μου ἡ ψυχὴ [399] τῇ ἐπιθυμίᾳ παραλελιπέναι τί. Ἐὰν γὰρ περὶ τῶν ἐνεςώτων ἢ μελλόντων γράφω [400] ὑμῖν, οὐ μὴ νοήσητε [401] διὰ τὸ ἐν παραβολαῖς κεῖσθαι. [402] Ταῦτα μὲν οὕτως. [403] Μεταβῶμεν δὲ ἐφ' ἑτέραν [404] γνῶσιν ϗ διδαχήν. Ὁδοὶ δύο εἰσὶ διδαχῆς ϗ ἐξουσίας. ἡ τοῦ φωτός, ϗ ἡ τοῦ σκότους. Διαφορὰ [405] δὲ πολλὴ τῶν δύο ὁδῶν. [406] Ἐφ' ἧς μὲν γὰρ εἰσιν τεταγμένοι φωταγωγοὶ ἄγγελοι τοῦ Θεοῦ, ἐφ' ἧς δὲ ἄγγελοι [407] τοῦ Σατανᾶ. [408] Καὶ ὁ μὲν ἐςιν Κύριος ἀπὸ αἰώνων ϗ εἰς τοὺς

---

393 Λ.Μ. ‘ ὃ ἐςι ςόμα εἰς σωτηρίαν. 394 Ι.Κ. ‘ εἰς τὸν ναὸν τῆς ἀφθαρσίας. 395 Κ. ‘ οὐκ εἰς τὸν ὅμοιον αὐτοῦ τὸν ἄνθρωπον. 396 Ι.Κ,Ο. ‘ ἐνοικοῦντα Θεὸν ϗ λαλοῦντα ἐν πνεύματι αὐτοῦ. 397 ΠτΧ. ‘ τουτέςι πνευματικὸς ναὸς ἅγιος, 398 Γ. ‘ δηλῶσαι. 399 Ι.Κ. ‘ ὁ νοῦς ϗ ἡ ψυχὴ τῇ ἐπιθυμίᾳ μου μὴ παραλελοιπέναι τί τῶν ἀνηκόντων εἰς σωτηρίαν. 400 Ι.Κ. ‘ γράψω. Π. ’γράφω. 401 Γ. ‘ νοήσηται. 402 Γ. ‘ κεῖσθε. 404 Ον. ‘ οὕτως ἐχέτω. 404 Ι.Κ.Μ. ‘ μεταβῶμεν δὲ ἤδη ϗ ἐπὶ ἑτέραν, 405 Γ. ‘ διαφορά. 406 Ι.Ο. ‘ μεταξὺ τῶν δύω ὁδῶν τούτων. 407 Γ.

αἰῶνας ὁ δὲ ἄρχων τοῦ νῦν καιροῦ τῆς ἀνομίας. Ἡ οὖν ὁδὸς τοῦ φωτός ἐϛιν τοιαύτη[408] Ἐάν τις θέλων ὁδὸν ὁδεύειν ἐπὶ τὸν ὡρισμένον τόπον σπεύσῃ[409] τοῖς ἔργοις αὐτοῦ. Ἔϛιν οὖν ἡ δοθ(ε)ῖσα ἡμῖν γνῶσις τοῦ περιπατ(ε)ῖν ἐν ταύτῃ[411] τοιαύτη. Ἀγαπήσεις τὸν[412] ποιήσαντά σε. φοβηθήσῃ τὸν σὲ πλάσαντα. δοξάσεις τὸν σὲ λυτρωσάμενον ἐκ θανάτου.[413] Ἔσῃ ἁπλοῦς τῇ καρδίᾳ, ὁ πλούσιος τῷ πνεύματι. Οὐ κολληθήσῃ μετὰ πορευομένων ἐν ὁδῷ θανάτου. Μισήσεις πᾶν, ὃ οὐκ ἔϛιν ἀρεϛὸν τῷ Θεῷ, μισήσεις πᾶσαν ὑπόκρισιν. Οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς Κυρίϋ. οὐχ ὑψώσεις σεαυτόν. ἔσῃ δὲ ταπ(ε)ινόφρων κατὰ πάντα. Οὐκ ἀρ(ε)ῖς[414] ἐπὶ σεαυτὸν δόξαν οὐ λήψῃ[415] βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σϋ. Οὐ δώσεις τῇ ψυχῇ σϋ θράσος. Οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσ(ε)ις. Οὐ μὴ σοῦ ὁ λόγος τοῦ Θεοῦ[416] ἐξέλθῃ ἐν ἀκαθαρσίᾳ τινῶν. Οὐ λήψῃ[417] πρόσωπον. ἐλέγ-

---

¹ ἐφ' οἷς. 408 Μ.Ο. ¹ ἄγγελοι σκοτεινοὶ τοῦ Σατανᾶ. 409 Π. ¹ αὕτη. 410 ΠτΧ. ¹ σπεύσει. 411 Μ.Ο Π. ¹ ἐν αὐ- 412 Ι.Κ. ¹ τὸν δὲ ποιήσαντα. 413 ΠτΧ. ¹ ἐκ τοῦ θανάτα. 414 Γ. ¹ οὐχ ἀρῖ. 415 Γ. ¹ λήμψῃ. 416 ΠτΧ. ¹ ὁ τοῦ Θεοῦ. 417 Μ.Ο. ¹ οὐ λήψῃ βουλὴν πονηράν. Ι Π. ¹ οὐ λήψῃ βουλὴν πονηράν, οὐδὲ μὴ πρόσωπον πρὸς ἐπιθυμίαν. Οὐ λήψῃ πρόσωπον ἐλέγξαι, κτλ. Κ.Λ. ¹ οὐ λήψῃ βυλὴν πονηράν, οὐδὲ μὴ πρόσωπον πρὸς ἐπιθυμίαν

ξαι τινὰ ἐπὶ παραπτώματι. Ἔσῃ πραΰς, ἔσῃ ἡσύχιος· ἔσῃ τρέμων τοὺς λόγους οὓς ἤκουσας. Οὐ μὴ μνησικακίσῃς[418] τῷ ἀδελφῷ σου. Οὐ μὴ διψυχήσῃς[419] πότερόν ἔσται, ἢ οὔ. Οὐ μὴ λάβῃς ἐπὶ ματαίῳ τὸ ὄνομά σου.[420] Ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυχήν σου.[421] Οὐ φονεύσεις τέκνον ἐν φθορᾷ, οὐδὲ πάλιν γεννηθὲν ἀποκτενεῖς.[422] Οὐ μὴ ἄρῃς τὴν χεῖρα σου ἀπὸ τοῦ υἱοῦ σου, ἢ ἀπὸ τῆς θυγατρός σου ἀλλὰ[423] ἀπὸ νεότητος διδάξεις φόβον Θεοῦ.[424] Οὐ μὴ γένῃ ἐπιθυμῶν τὰ τοῦ πλησίον σου, οὐδὲ μὴ γένῃ πλεονέκτης. Οὐδὲ κολληθήσῃ ἐκ ψυχῆς σου μετὰ ὑψηλῶν,[425] ἀλλὰ μετὰ ταπ(ε)ινῶν ϗ δικαίων ἀναστραφήσῃ.

αἰσχράν. Οὐ λήψῃ πρόσωπον ἐλέγξαι τινὰ ἐπὶ παραπτώματι. Γ. ‘ οὐ λήμψῃ πρόσωπον ἐλέγξε. τινὰ ἐπὶ ’ κτλ. 418 Γ. ‘ οὐ μὴ μνησικακίσεις. 419 Γ ‘ οὐ μὴ διψυχήσεις· 420 Κ. ‘ τὸ ὄνομα Κυρίου Ι. ‘ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου.’ Οὕτω ϗ τὰ λοιπὰ χειρόγραφα ἔχει. 421 Γ. ‘ ἀγαπήσεις τὸν πλησίον σου ‘ΥΠΕΡ ΤΟΝ ΕΧΘΡΟΝ ΣΟΥ’ ὑπὲρ τὴν ψυχήν σου. Μ. ‘ ἀγαπήσεις τὸν πλησίον σου ϗ τον ἐχθρόν σου ὑπὲρ τὴν ψυχήν σου. Ι.Κ. ‘ ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυχήν σου. Ο. ‘ ἀγαπήσεις τὸν πλησίον σου ϗ πάντα ἐχθρόν σου ὑπὲρ σεαυτόν. Λ. ‘ ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ σεαυτὸν κἂν ἐχθρικῶς διάκειται πρός σε. 422 Ι.Κ. ‘ἀποκτενεῖς. 423 Ι.Κ. ‘ἀλλ’ ἀπὸ νεότητος 424 Ο Π. ‘ διδάξεις αὐτοῖς πάντα φόβον

Τὰ συμβαίνοντά σοι ἐνεργήματα[426] ὡς ἀγαθὰ προσδέξῃ· εἰδὼς ὅτι ἄνευ Θεοῦ οὐδὲν γίνεται.[427] Οὐκ ἔσῃ διγνώμων,[428] οὐδὲ γλωσσώδης.[429] Ὑποταγή[σῃ][430] Κυρίοις ὡς τύπῳ Θεοῦ· αἰσχύνῃ ϗ φόβῳ.[431] Οὐ μὴ ἐπιτάξῃς δούλῳ σου ἢ παιδίσκῃ[432] ἐν πικρίᾳ τοῖς ἐπὶ τὸν αὐτὸν Θεὸν ἐλπίζουσιν, μήποτε οὐ μὴ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέροις Θεόν· ὅτι οὐκ ἦλθεν κατὰ πρόσωπον[433] καλέσαι ἀλλ' ἐφ' οὓς τὸ Πνεῦμα ἡτοίμασεν. Κοινωνήσεις ἐν πᾶσιν τῷ πλησίον σου, ϗ οὐκ ἐρ(ε)ῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ ἀφθάρτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς θνητοῖς;[434] Οὐκ ἔσῃ πρόγλωσσος· παγὶς γὰρ στόμα θανάτου. Ὅσον δύνασαι[435] ὑπὲρ τῆς ψυχῆς σου ἁγνεύσ(ε)ις. Μὴ γίνου[436] πρὸς μὲν τὸ λαβεῖν ἐκτ(ε)ίνων τὰς χ(ε)ῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν

Θεοῦ. 425 Λ.Ο.Π. ʻμετὰ ὑψηλῶν ϗ ἀδίκων. 426 Ι.Κ. κακὰ ἐνεργήματα. 427 Γ. ʻγείνεται. 428 Λ. ʻδυσογνώμων οὐδὲ διγνώμων. 429 Κ. ʻοὐδὲ γλωσσώδης οὐδὲ δίγλωσσος. 430 Ι.Λ. ʻὑποταγήσῃ κυρίοις ἐν Κυρίῳ. Κ.Ο. ʻὑποτάγηθι πᾶσιν ἐν Κυρίῳ. 431 Ι.Μ.Ο. ʻἐν αἰσχύνῃ ϗ φόβῳ. Κ.Λ. ʻαἰσχυνόμενος ϗ φοβούμενος. 432 Ι.Κ. ʻτῷ δούλῳ σου ἢ τῇ παιδίσκῃ σου. 433 Ο.Π. ʻὅτι ἦλθεν καλέσαι (Γ. ʻκαλέσει) οὐ μὴ κατὰ πρόσωπον ἀνθρώπου, ἀλλ' ἐφ' οὓς. 434 Μ.Ο. ʻεἰ γὰρ παρὰ τῷ ἀφθάρτῳ κοινονήσωμεν τοῖς ἀφθάρτοις, πόσῳ μᾶλλον παρὰ τοῖς θνητοῖς τοῖς φθαρτοῖς ἀγαθοῖς; 435 Γ. ʻδύνασε 436 Γ. ʻγείνου 437 Ι.Κ.Π.

[437] Ἀγαπήσεις ὡς κόρην τοῦ ὀφθαλμοῦ σου πάντα [438] τὸν λαλοῦντα σοι τὸν λόγον Κυρίου. Μνησθήσῃ ἡμέραν [439] κρίσεως, νυκτὸς καὶ ἡμέρας,[440] καὶ ἐκζητήσεις καθ' ἑκάστην ἡμέραν [τὰ πρόσωπα τῶν ἁγίων] [441] ἢ διὰ λόγου κοπιῶν [442] καὶ πορευόμενος εἰς τὸ παρακαλέσαι. καὶ μελετῶν εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ ἢ διὰ τῶν χ(ε)ιρῶν σου ἐργάσῃ εἰς λύτρον ἁμαρτιῶν σου.[443] Οὐ διστάσ(ε)ις δοῦναι, οὐδὲ διδοὺς γογγύσῃ [παντὶ αἰτοῦντί σε δίδου).[444] Γνώσῃ δὲ τίς ὁ τοῦ μισθοῦ

‘ συστέλλων. Ο. ‘ περιστέλλων. 438 Κ.Μ. ‘ πάντα ἄνθρωπον λαλοῦντα σοι. 439 Ι.Κ.Μ. ‘ ἡμέρας κρίσεως 440 Μ.Ο. ‘ ἐν τε νυκτὶ καὶ ἡμέρᾳ. 441 Οὕτω ΠτΧ. 442 Λ. ‘ ἢ διὰ λόγου καὶ ἔργου καὶ κόπου. Ο. ‘ ἢ διὰ λόγου ἢ ἔργου ἢ κόπου κοπιῶν καὶ. 442 Γ. ‘ κοποιῶντι.

443 Ἔχει δὲ τὸ χωρίον τοῦτο ἐν τοῖς ἀπογράφοις Ι.Κ.Π. οὕτω: ‘ Μνημόνευε ἀεὶ τῆς ἐσχάτης ἡμέρας, τῆς ἡμέρας τῆς κρίσεως ἔν τε νυκτὶ καὶ ἡμέρᾳ. Ἐκζητήσεις καθεκάστην ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων Κυρίου τὰ ὑπὲρ αὐτοῦ πάσχοντα, καὶ ποιήσεις αὐτοῖς ἀγαθόν τι ἱλαρῷ τῷ προσώπῳ, ἢ διὰ λόγου κοπιῶν, ἢ δι' ἔργου τινὸς ἀγαθοῦ· ἀεὶ κοπιῶν καὶ μελετῶν ὑπὲρ τοῦ ἀγαθοῦ τῶν ἁγίων, καὶ πορευόμενος πρὸς αὐτοὺς εἰς τὸ παρακαλέσαι)Γ. ‘ παρακαλέσει) καὶ μελετῶν εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ· ἢ διὰ τῶν χειρῶν σου ἐργάσῃ εἰς λύτρον ἁμαρτιῶν σου.’

444 ‘ Γογγύσεις. Παντὶ τῷ αἰτοῦντι σε δίδου.’ Οὕτω

καλὸς ἀνταποδότης. Φυλάξεις, ἃ παρέλαβες. μήποτε προθ(ε)ὶς,[115] μήτε ἀφαιρῶν. Εἰς τέλος μισήσεις πονηρόν·[116] Καὶ κρινεῖς δικαίως. Οὐ ποιήσεις σχίσμα. Εἰρηνεύσεις μαχομένους συνάγων.[117] Ἐξομολογήσῃ ἐν ἁμαρτίαις σου·[118] οὐ προσέξεις ἐπὶ προσευχὴν ἐν συν(ε)ιδήσει πονηρᾷ[119] [Αὕτη ἐστὶν ἡ ὁδὸς τοῦ φωτός.][120] Ἡ δὲ τοῦ μέλανος ὁδὸς σκολιᾶς καὶ κατάρας μεστή· ὁδὸς γάρ ἐστιν Θανάτῳ αἰωνία[122] μετὰ τιμωρίας, ἐν ᾗ ἐστιν [τὰ] ἀπολλύντα[123] τὴν ψυχὴν αὐτῶν· εἰδωλολατρ(ε)ία, Θρασύτης, ὕψος δυνάμεως, ὑπόκρισις, διπλοκαρδία, μοιχ(ε)ία, φόνος, ἁρπαγή, ὑπερηφανία, παραβάσεις, δόλος, κακία αὐθά-

---

πάντα τὰ χειρ. τὸ δὲ τοῦ Γασ. ' γογγύσῃ. Γνώσῃ δὲ ' κτλ. [115] Ο.Π. ' προστιθεὶς [116] ΠτΧ. ' πάντα μισαρόν. [117] Μ.Ο. ' Εἰρηνεύσεις δὲ τοὺς μαχομένους εἰς ἓν συνάγων αὐτούς. [118] Ι Π. ' ἐξομολογήσῃ τὰς ἁμαρτίας σου τῷ Κυρίῳ ἐν ὅλῃ καρδίᾳ σου. Ο ' ἐξομολογήσῃ ἐν ταῖς ἁμαρτίαις Κ.Μ. ' ἐξομολ. ἐπὶ ἁμαρτίαις σου.' [119] Κ. ' Οὐ προσεύξῃ ἐπὶ προσευχήν σου συνειδήσει πονηρᾷ. Ι. ' οὐκ ἥξεις ἐν τῷ δωματίῳ σου ἐπὶ προσευχὴν συνειδήσει πονηρᾷ.' [120] Ἡ πρόσθεσις αὕτη ὑπάρχει ϗ ἐν τοῖς ἐξ χειρογ. [121] Ι. ' Σκολιὰ αἰωνίως ϗ κατάρας μεστή. Π. ' σκολιὰ ἐστι δι' ὃ ϗ σκολιῶν ἔργων ἐργάτης ϗ κατάρας μεστή. Κ. ' σκολιὰ ἐστὶ ϗ κατάρας μεστή.' [122] Ι.Κ. ' ἐστι γὰρ αὕτη θανάτου ὁδὸς αἰωνία μετὰ τιμ., ἐν ᾗ ἐστι πάντα τὰ ἀπολοῦντα τὴν ψυχὴν αὐτῶν τάδε. [123] Γ. ' ἐν ᾗ ἐστιν ἀπο-

δ(ε)ια, φαρμακ(ε)ία. ἀφοβία (Θεοῦ).[454] Διῶκται τῶν ἀγαθῶν, μισοῦντες ἀλήθειαν, ἀγαπῶντες ψεύδη,[455] οὐ γινώσκοντες μισθὸν δικαιοσύνης, οὐ κολλώμενοι ἀγαθῷ. οὐ κρίσει δικαίᾳ χήρᾳ ἢ ὀρφανῷ οὐ προσέχοντες. ἀγρυπνοῦντες οὐκ εἰς φόβον Θεοῦ, ἀλλ' ἐπὶ τὸ πονηρὸν, ὧν μακρὰν ἢ πόῤῥω πραΰτης[456] ἢ ὑπομονὴ, ἀγαπῶντες ματαιότητα, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες[457] πτωχὸν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ εὐχερ(ε)ῖς ἐν καταλαλιᾷ οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτοὺς. φον(ε)ῖς τέκνων, φθορ(ε)ῖς πλάσματος Θεοῦ, ἀποστρεφόμενοι τὸν ἐνδεόμενον, ἢ καταπονοῦντες τὸν θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταὶ, πανθαμάρτητοι. Καλόν[458] ἐςιν μαθόντα τὰ δικαιώματα Κυρίου ὅσα γέγραπται, ἐν τούτοις περιπατεῖν. Ὁ γὰρ ταῦτα ποιῶν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ δοξασθήσεται· ὁ ἐκεῖνα ἐκλεγόμενος[459] μετὰ τῶν ἔργων αὐτοῦ συναπολ(ε)ῖται. Διὰ τοῦτο ἀνάςασις,[460] διὰ τοῦτο ἀνταπόδομα. Ἐρωτῶ τοὺς ὑπερέχοντας, εἰ τινά μου γνώμης ἀγαθῆς λαμβάνετε συμβουλίαν· ἔχετε μεθ' ἑαυτῶν,[461]

λύντα τὴν ψυχὴν αὐτῶν.' 454 'ἀφοβία Θεοῦ, μαγεία, πλεονεξία.' ἔχει ἢ ἐν τοῖς ἓξ ἀπογράφοις. 455 'μισοῦντες πᾶσαν ἀλήθειαν, ἀγαπῶντες δὲ πᾶν ψεῦδος. 456 Ο.Π. 'πραότης 457 Γ. 'ἐλεῶντες. 458 Ι.Κ. 'καλὸν δ' ἐςι. 459 ΠτΧ. 'ὁ δὲ ἀντὶ τούτων ἐκεῖνα ἐκλεγόμενος. 460 Γ. 'ἀναςάσεως. 461 Ι.Κ. 'ἔχετε γὰρ μεθ' ἑαυτῶν

είς οὓς ἐργάσησθε τὸ καλὸν, μὴ ἐλλ(ε)ίπητε. Ἐγγὺς ἡ ἡμέρα, ἐν ᾗ συναπολ(ε)ῖται πάντα τῷ πονηρῷ. Ἐγγὺς ὁ Κύριος ϗ ὁ μισθὸς αὐτοῦ. Ἔτι καὶ ἔτι ἐρωτῶ ὑμᾶς· ἑαυτῶν γίνεσθε[462] νομοθέται ἀγαθῶν,[463] ἑαυτῶν μένετε σύμβηλοι πιστοί, ἄρα(τε)[464] ἐξ ὑμῶν πᾶσαν ὑπόκρισιν. Ὁ δὲ Θεὸς, ὁ τοῦ παντὸς κόσμȣ Κυριεύων[465] δώσῃ ὑμῖν σοφίαν, σύνεσιν, ἐπιστήμην,[466] γνῶσιν τῶν δικαιωμάτων αὐτοῦ, ὑπομονήν. Γίγνεσθε,[467] δὲ ἐκζητοῦντες, τί ζητεῖ Κύριος ἀφ' ὑμῶν, ϗ ποιεῖτε.[468] ἵνα εὑρεθῆτε ἐν ἡμέρᾳ κρίσεως.[469] Εἰ δέ τίς [470] ἐστιν ἀγαθοῦ μν(ε)ία, μνημονεύετέ μȣ, μελε-

---

είς οὓς ἐργάσησθαι (Λ. ἐργάσασθε), ϗ μὴ ἐλλείπητε τοῦτο ποιοῦντες ἐγγὺς γάρ ἐστι ἡ ἡμέρα.' Γ. 'ἐνλίπηται ἐνγὺς ἡ ἡμέρα. 462 Γ. 'γείνεσθαι. 463 Ο Π. 'νομαθέται ἀγαθοί. 464 'Ἄρατε πᾶσαν ὑπόκρισιν' ἐν ΠτΧ, πλὴν τοῦ 16. Ἐν δὲ τῇ ΡΓΗ (ἤτοι τῇ 208) σημειώσει τοῦ Ἰβηριτικοῦ ἀπογράφου ἀναγινώσκεται τό χωρίον τοῦτο ὡς ἑξῆς: 'Ἔτι ϗ ἔτι ἐρῶ ὑμῖν ϗ προτρέπω ὑμᾶς γίνεσθαι ἑαυτῶν ἀγαθῶν ἀγαθοὶ νομοθέται, ἑαυτῶν μένετε σύμβηλοι πιστοί· ἄρατε ἐξ ὑμῶν μετὰ παῤῥησίας πᾶσαν ὑπόκρισιν. 465 ΠτΧ. 'ὁ δὲ τοῦ παντὸς κόσμȣ κυριεύων Θεὸς ὁ ἀληθής.' 466 Ι.Κ. 'σύνεσιν ἐπιστήμης. Ο. 'σύνεσιν μεθ' ἐπιστήμης. 467 ΠτΧ. 'γίγνεσθε δὲ θεοδίδακτοι. 468 Κ. 'ϗ οὕτω ποιεῖτε.' Γ. 'ποιεῖται. 469 Ι.Κ.Ο. 'ἵνα εὑρεθῆτε (Γ. 'εὑρεθῆται) ἐν ἡμέρᾳ κρίσεως δεδικαιωμένοι. Μ. 'σι-

τῶντες ταῦτα, ἵνα ϗ ἡ ἐπιθυμία, ϗ ἡ ἀγρυπνία εἴς τι ἀγαθὸν[471] χωρήσῃ. Ἐρωτῶ ὑμᾶς, χάριν αἰτούμενος. Ἕως ἔτι τὸ καλὸν σκεῦός ἐστιν μεθ' ὑμῶν, μὴ ἐλλ(ε)ίπητε[472] μηδενὶ ἑαυτῶν, ἀλλὰ συνεχῶς ἐκζητ(ε)ῖτε[473] ταῦτα, ϗ ἀναπληροῦτε πᾶσαν ἐντολήν· ἔστιν γὰρ ἄξια. Δι' ὃ μᾶλλον ἐσπούδασα γράψαι,[474] ἀφ' ὧν ἠδυνήθην.[475] Σώζεσθε, ἀγάπης τέκνα ϗ εἰρήνης, ὁ Κύριος τῆς δόξης ϗ πάσης χάριτος μετὰ τοῦ πνεύματος ὑμῶν.[476]

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ.[477]

---

470 Οὕτως ἔχει ϗ τὸ τοῦ Ι. Κ. τὸ δὲ τοῦ Π. οὕτως: ' Εἰ δὲ ϗ ἔστι μνεία ἀγαθοῦ τινος μνημονεύετέ μου'. Γ. ' μνημονεύεταί μου. 471 Ι.Κ.Ο. ' εἰς πᾶν ἀγαθόν. Π. ' εἰς τὸ ἀγαθόν. 472 Γ. ' ἐνλίπηται. 473 Γ. ' ἐκζητεῖται. 474 Γ. ' γράφει 475 ΠτΧ. ' εἰς τὸ εὐφράναι ὑμᾶς λόγοις Κυρίȣ. 476 Ι.Κ.Ο Π. ' ὑμῶν. Ἀμήν. 477 Ἡ ἐπιγραφὴ αὕτη ἄλλως ϗ ἄλλως ἀναγινώσκεται, ὡς ἐν τοῖς πρόσθεν ἐῤῥέθη.

Καὶ αὗται μὲν εἰσιν αἱ τῶν προσημειωθέντων ἀπογράφων γραφικαὶ διαφοραὶ πᾶσαι. Δεῖ δὲ ἀναθεωρηθῆναι ϗ παραβληθῆναι αὐτὰ ϗ πάλιν ϗ πάλιν πρὸς ἄλληλα ἀκριβέστερον, ἀλλ' οὐ τοῦ παρόντος καιροῦ τοῦτο. Σὺ δὲ, ὦ φίλτατε, γίνωσκε ὅτι, πλὴν τῶν ἑπτὰ ἀπογράφων τούτων σώζεται παρ' ἐμοὶ ϗ ὄγδοον ἐν παλιμψήστοις, ὅπερ οὔπω ἀνεγνώσθη· ἀλλ' οὐδ' ἐλπίς ἐστιν ἀναγνωσθῆναι τοῦτο ἐπὶ τοῦ παρόντος, διά τι τὸ δυσδιάκριτον ϗ κάρτα μι-

κρογράμματον. Τὸ δὲ ἐπ' αὐτοῦ ἐςι Μιχαὴλ τοῦ Ψελλοῦ ςίχοι εἰς τοὺς ΡΝ' Ψαλμοὺς τοῦ Δαυὶδ ϗ εἰς τὰς ἑπτὰ ἱερὰς Οἰκουμενικὰς Συνόδους, οὓς ϗ σπουδαίους λίαν θεωρῶ ϗ ἀνεκδότους, καθ' ὅσον οἶδα. Ἤκμασε δὲ ὁ Ψελλὸς ἐν τῷ ἑνδεκάτῳ αἰῶνι, ἡ δὲ παλίνξυσις τοῦ χειρογράφου ἐγένετο ἐν τῷ ΙΓ' αἰῶνι, ὡς ἔκ τε τῆς γραφῆς αὐτοῦ ϗ ἐξ ἄλλων τεκμηρίων βεβαιοῦται τοῦτο. Ἡ δὲ τῆς τοῦ Βαρνάβα ἐπιςολῆς γραφή ἐςιν Ἀλεξανδρινὴ ϗ λίαν ἀρχαία. Ἔχει δὲ ἡ ἀρχὴ τῶν ςίχων τοῦ Ψελλοῦ οὕτως:-

'ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ ΚΑΙ ΥΠΕΡΤΙΜΟΥ
ςίχοι εἰς τοὺς ΡΝ' ψαλμοὺς, ἔνθεν ϗ δι' ὧν ἐπωνομάσθησαν
πρὸς τὸν κύριον ΜΙΧΑΗΛ ϗ βασιλέα τὸν ΔΟΥΚΑ.

ΟΥΚ ἐςι τὸ Ψαλτήριον δέσποτά μου, βιβλίον,
ὡς οἱ πολλοὶ νομίζουσι, πάντως ἐξ ἀγνοίας,
ἀλλ' ἦν τὸ πρὶν δεκάχορδον ὄργανον ὡς κιθάρα,
ψαλτήριον καλούμενον ἐξ ἐτυμολογίας·
ἀπὸ τοῦ τὰ ψαλλόμενα τηρεῖν τοὺς μελοδοῦντας.' κτλ.

Οἱ δέ γε περὶ τῶν ἑπτὰ Συνόδων ἄρχονται ὧδε:-

'ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΕΠΤΑ ΣΥΝΟΔΩΝ.

ΓΙΓΝΩΣΚΕ ϗ τὸν ἀριθμὸν τῶν ἱερῶν Συνόδων.
ὁπόσαι κατὰ δυσσεβῶν ἐκροτήθησαν πάλαι.
ΕΠΤΑ πᾶσαι πεφύκασι, πρώτη δ' ἡ ἐν Νικαίᾳ.' κτλ.

Τὸ δὲ τοῦ Γασπάρεως ἀπόγραφον πρὸς τῇ τοῦ Βαρνάβα ἐπιςολῇ ϗ τῷ τοῦ Ἑρμᾶ π ο ι μ έ ν ι περιέχει ἐν τῷ τέλει ϗ τάδε:-

‘ ΠΙΝΑΞ ἀρίστη ψαλμῶν τῆς θείας βίβλου.

Ὑπόθεσις ψαλμῶν Εὐσεβίου Παμφίλου.

ΤΗΣ βίβλου τῶν ψαλμῶν τῆς θείας αἱ διαιρέσεις, ὡς τὰ ἀκριβῆ τῶν ἀντιγράφων δηλοῦσιν, αὐτό τε τὸ Ἑβραϊκὸν περιέχει. Οὐχ ὡς ἄν τις ὑπολάβοι πάντες εἰσὶ τοῦ Δαυὶδ οἱ ψαλμοὶ, ἀλλὰ καὶ ἑτέρων προφητῶν ἐν τῷ ψάλλειν προφητευόντων. Δι' ὅπερ ἡ πᾶσα γραφὴ παρ' Ἑβραίοις, οὐ τοῦ Δαυὶδ μόνον ἐπιγράφεται, ἀλλ' ἀδιόριστος βίβλος ψαλμῶν ὀνομάζεται. Εἰς πέντε μέρη τὴν πᾶσαν τῶν ψαλμῶν βίβλον παῖδες Ἑβραίων διαιροῦσιν.

Πρῶτον, εἰς τοὺς ἀπὸ Α' μέχρις Μ'.

Δεύτερον, εἰς τοὺς ἀπὸ ΜΑ' - - - ΟΑ.'

Τρίτον, εἰς τοὺς ἀπὸ ΟΒ' - - - ΠΗ'.

Τέταρτον, εἰς τοὺς ἀπὸ ΠΘ' - - - ΡΓ'.

Πέμ.. εἰς τοὺς ἀπὸ Ρϛ' μέχρι τέλους τῆς Β' βίβλου.

Τῶν ἐπιγεγραμμένων αἱ διαιρέσεις οὕτως: Τοῦ μὲν Δαυὶδ ΟΑ', ἀπὸ τοῦ Α' ψαλμοῦ ἕως τοῦ ΟΑ'. Εἰσὶ δὲ καὶ ἕτεροι ΚΒ τοῦ αὐτοῦ διεσπαρμένοι ἐν τῇ βίβλῳ οὗτοι:- ΠΕ', Ϟ' [=90], ϞΒ ϞΓ, ϞΔ, ϞΕ, Ϟϛ ϞΖ, ϞΗ, Ρ, ΡΒ, ΡΓ, ΓΖ, ΡΗ, ΡΘ, ΡΛΗ, ΡΛΘ, ΡΜ, ΡΜΑ, ΡΜΒ, ΡΜΓ, ΓΜΔ.'

Τοῦ Ἀσάφ ΙΑ'. ὁ ΟΑ', ΟΓ, ΟΔ, ΟΕ, Οϛ, ΟΖ, ΟΗ, ΟΘ, Π, ΠΑ, ΠΒ.

Τοῖς υἱοῖς Κορὲ Δ' ΠΓ, ΠΔ, Πϛ, ΠΖ.

Αἰθὰμ τοῦ Ἰσραηλίτου εἰς ὁ ΠΑ'.

Μωσέως εἰς ὁ ΠΘ'.

Τῶν εἰς τὸ ἀλληλούϊα ΙΕ·' ὁ ΡΔ, ΡΕ, Ρϛ, ΡΙ, ΡΙΑ, ΡΙΒ, ΡΙΓ, ΡΙΔ, ΡΙΕ, ΡΙϛ, ΡΙΖ, ΡΙΗ, ΡΛΔ, ΡΛΕ, ΡΝ.

Τῶν εἰς τὸ ἀλλη 'Αγκαίυ ἢ Ζαχαρίυ ΙΞ· ὁ ΡΙΑ, ΡΜΕ, ΡΜϛ, ΡΜΖ, ΡΜΗ, ΡΜΘ.

Τῶν εἰς τοὺς ἀναβαθμοὺς ΙΕ·' ὁ ΡΙΘ, ΡΚ, ΡΚΑ, ΡΚΒ, ΡΚΓ, ΡΚΔ, ΡΚΕ, ΡΚϛ, ΡΚΖ, ΡΚΗ, ΡΚΘ, ΡΛ, ΡΛΑ, ΡΛΒ, ΡΛΓ.

'Ανώνυμοι τρεῖς, ὁ ΥιΑ, ΥιΘ, ΡΑ.

'Ανώνυμοι ὅσοι μὲν ἐπιγραφὰς ἔχουσιν, οὐ δηλοῦσι δὲ τίνων εἰσίν.'

Πρὸς τῷ πίνακι δὲ τῶν ψαλμῶν τούτῳ περιέχει τὸ τοῦ Γασπάρεως ἢ περὶ τοῦ πόνου τῆς παλαιᾶς Διαθήκης ἐγένοντο ἐκδόσεις, ἢ περὶ τῶν διαψαλμάτων σημειώσεις τινὲς, ὥσπερ ἢ περὶ τῆς ἐννοίας τοῦ, Αλληλούϊα ἢ στίχυς ὀλίγυς εἰς τὸν προφητάνακτα Δαυΐδ.

Τὰ γράμματα ΠτΧ δηλοῖ 'πάντα τὰ χειρόγραφα.' Περὶ δὲ τῶν λοιπῶν συντετμημένων ἐν ταῖς σημειώσεσιν ὀνομάτων εἶπον σοι ἐν τοῖς πρόσθεν.

Ἐν σελίδι θ' ἢ μεταξὺ τοῦ 9 στίχυ ἢ 10 ἀνάγνωθι ,ΑΣΟΓ,' ἀντὶ ΑΛΘΓ.'

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ... 1930
Α.Π.Θ.

Α.Π.Θ.

Α.Π.Θ.

Α.Π.Θ.

Α.Π.Θ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΠ
3